











THE

APHORISMS

OF

HIPPOCRATES

Edited by

ADOLFUS VORSTIUS.

Published by Elzevir.

LEYDEN.

1628.

Edwin John Jones.
December 24. 1839.


ἹΠΠΟΚΡΑ-
ΤΟΥΣ
ἈΦΟΡΙΣΜΟΙ.
APHORISMI
HIPPOCRA-
TIS.
Ex recognitione
A. VORSTII
M. P.
Lugd: Batavorū,
ex officina Elzeviriana.
cIↃ IↃ C XXVIII



LECTORI BENEVOLO
ADOLFVS VORSTIVS,
Medicus,

S.



IPPOCRATIS medicinæ parentis Aphoriſmos, opus planè divinum, exiguo hoc & εὐμεταχειρίστῳ volumine contentos, accipe mi Lector. Neque id ex mole, qua parvum eſſe vides, æſtimare te decet, ſed pro rerum quæ in eo tractantur dignitate atque excellentia: cùm totius Artis ſit veluti promptuarium quoddam, unde præcipua illius capita, & κυρίας magni Hipp. δόξας petere licet. Habes textum Græcum emendatiſſimum, & verſionem Latinam ἐκ

παραλλήλου, non paraphrasticam aut affectatam, sed simplicem ac sine fuco, qualem esse oportet ubi singulæ autorum voces pensitantur, sententiæque eorum pro oraculis citantur: quod ipsum in Aphorismis, non hoc tantum sæculo, sed ab omni ferè ævo ac hominum memoria, fieri cõsuevit. Collatis quotquot extabant doctissimorum virorum versionibus, hanc ita interpolavi ac recognovi, ut magna ex parte nova videri possit. quem laborem, flagitantibus typographis, novamque hanc & elegantem editionem molientibus, lubens concessi, sperans publico quoque hanc nostram opellam non ingratam fore. Vale, & fruere.

ΙΠΠΟ-

ἹΠΠΟΚΡΆΤΟΥΣ ἈΦΟΡΙΣΜΟΊ.

Joannes · Curtesius · p. 12d.

APHORISMI HIPPOCRATIS.

ἹΠΠΟΚΡΆΤΟΥΣ
ἈΦΟΡΙΣΜΩ͂Ν

Τμῆμα πρῶτον.

Α'.

Ὁ Βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν.

β'. Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφό-

HIPPOCRATIS APHORISMORVM

SECTIO PRIMA.

I.

VIta brevis, ars longa, occasio præceps, experimentum periculosum, judicium difficile. Oportet autem non modò seipsum exhibere promtum ad ea, quæ decent, facienda, sed & ægrum, & præsentes, & externa.

2. *In perturbationibus ventris, & vomitibus sponte evenientibus, siquidem qualia oportet purgari purgentur, confert, &*

εὐφόρως φέρουσιν· ἢν δὲ μή, τοὐναντίον. οὕτω δὲ καὶ ἡ κενεαγγείη, ἢν μὲν οἵην δεῖ γίγνεσθαι γίγνηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· ἢν δὲ μή, τοὐναντίον. ἐπιβλέπειν οὖν δεῖ καὶ χώρην, καὶ ὥρην, καὶ ἡλικίην, καὶ νούσους ἐν ᾗσι δεῖ, ἢ οὔ.

γ΄. Ἐν τοῖσι γυμναστικοῖσιν αἱ ἐπ᾽ ἄκρον εὐεξίαι σφαλεραί, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν. οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ, οὐδὲ ἀτρεμέειν. ἐπεὶ δ᾽ οὐκ ἀτρεμέουσιν, οὐδέτι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, λείπεται ἐπὶ τὸ χεῖρον. τουτέων οὖν ἕνεκα τὴν εὐεξίην

λύειν

facile ferunt: ſin minus, contrà. Sic verò & vaſorũ evacuatio, ſiquidem fiat qualem fieri decet, confert, & facilè ferunt: ſin minus, contrà. Quocirca cõſiderare oportet & regionẽ, & anni tempus, & ætatẽ, & morbos in quibus expedit, aut non.

3. *Athletarum boni habitus ad ſummum progreſſi, periculoſi, ſi in extremo conſtiterint. neq; enim poſſunt in eodem ſtatu permanere, neque quieſcere. Cùm verò non quieſcant, neque ultrà poſſint in melius proficere, reliquum eſt ut in deterius labantur. Horũ igitur cauſa bonũ eum habitũ ſol-*

λύειν ξυμφέρει μὴ βραδέως, ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος λάβῃ τὸ σῶμα. μηδὲ τὰς ξυμπτώσιας ἐς τὸ ἔσχατον ἄγειν· σφαλερὸν γάρ· ἀλλ' ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. ὡσαύτως δὲ καὶ αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι, σφαλεραί· καὶ πάλιν αἱ ἀναθρέψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραί.

δ'. Αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν αἰεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσιν, οὗ μὴ ἐπιδέχεται, σφαλεραί. καὶ πάλιν αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀφιγμέναι δίαιται, χαλεπαί. καὶ γὰρ αἱ πληρώ-

σιες

ſolvere conducit haud cunctanter, quo rurſus initium novæ nutricationis corpus ſumat. Neq; vaſorum *conſidentiæ ad extremum perducendæ: periculoſum enim. Sed qualis natura fuerit ejus qui id perpeſſurus eſt, eò uſq; progrediendum. Sic & evacuationes, quæ ad extremum tendunt, periculoſæ: & rurſus refectiones, cum extremæ fuerint, periculoſæ.*

4. *Victus tenuis & exquiſitus, cum in morbis longis ſemper, tum in acutis ubi non convenit, periculoſus. Ac rurſus qui ad extremũ tenuitatis devenit victus, gravis. Nam & repletiones*

σιες αἱ ἐς τὸ ἔσχατον ἀφιγμέναι, χαλεπαί.

ε'. Ἐν τῇσι λεπτῇσι διαίτῃσιν ἁμαρτάνουσιν οἱ νοσέοντες· διὸ μᾶλλον βλάπτονται. πᾶν γὰρ τὸ ἁμάρτημα ὃ ἂν γίνηται, μέγα γίνεται μᾶλλον ἐν τῇσι λεπτῇσι, ἢ ἐν τῇσιν ὀλίγον ἁδροτέρῃσι διαίτῃσι. διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσι σφαλεραὶ αἱ πάνυ λεπταὶ καὶ καθεστηκυῖαι καὶ ἀκριβέες δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσι. διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται σφαλεραὶ ἐς τὰ πλεῖστα τῶν σμικρὸν ἁδροτέρων.

ϛ'. Ἐς δὲ τὰ ἔσχατα νουσήματα αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβείην κράτισται.

ζ'. Ὅκου μὲν οὖν κάτοξυ τὸ

νούση-

ad extremum perducta, graves sunt.

5. In tenui victu delinquunt ægri: ob id magis læduntur. Quicunque enim error committitur, major in tenui fit, quam in paulò pleniore victu. propterea etiam sanis periculosus est valdè tenuis, & status ac exquisitus victus; quoniam errores graviùs ferunt. Hac igitur de causa tenuis & exquisitus victus, eo qui sit paulò plenior, maxima ex parte periculosior.

6. Ad extremos morbos extrema exquisitè remedia optima.

7. Vbi morbus peracu-

νόσημα, αὐτίκα τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ὅκου δὲ μή, ἀλλ' ἐνδέχεται ἀδροτέρως διαιτᾶν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ.

η'. Ὁκόταν δὲ ἀκμάζῃ τὸ νόσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

θ'. Συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νόσου, καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον, καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος πρότερον ἀπαυδήσει, καὶ ἀμβλυνεῖται.

ι'. Ὁκόσοισι μὲν οὖν αὐ-

tus eſt, ſtatim extremos habet labores, & extremè tenuiſſimo victu uti neceſſe. Vbi verò non ſed plenius licet cibare, tantum à tenui *recedendum, quanto morbus remiſſior extremis fuerit.*

8. *Cum morbus in vigore fuerit, tunc vel tenuiſſimo victu uti neceſſe.*

9. *Conjicere autem oportet, num ſufficiat ægro is victus uſque ad morbi vigorem; & utrum prius ille deficiet, neque cum eo victu perdurare poterit, vel morbus ante deficiet & remittet.*

10. *Quibus igitur ſtatim vigor*

τίκα ἡ ἀκμὴ, αὐτίκα λεπτῶς διαιτᾷν. ὁκόσοισι δὲ ἐς ὕστερον ἡ ἀκμὴ, ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου μικρὸν ἀφαιρετέον. ἔμπροσθεν δὲ πιοτέρως διαιτᾷν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.

ια΄. Ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή· τὸ προστιθέναι γὰρ βλάπτει. καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται, ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή.

ιβ΄. Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες, ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίγνωνται.

ἀτὰρ

vigor adest, tenuiter statim alendi: quibus verò posteà vigor futurus est, iis sub illud tempus & paulò ante subtrahendum. priùs verò uberius alendum, quo durare possit æger.

11. *In paroxysmis* cibum *subtrahere oportet: exhibere enim noxium. & quicunque* morbi *per periodos exacerbantur, in eorum paroxysmis subtrahere oportet.*

12. *Paroxysmos verò, & constitutiones indicabunt morbi, & anni tempora, & periodorum ad se mutuò incrementa, sive quotidie, sive alternis diebus, sive ex longiore fiant intervallo.*

Quin-

ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι πτύελον, ἢν αὐτίκα ἐπιφαίνηται ἀρχομένου, βραχύνει· ἢν δ' ὕστερον ἐπιφαίνηται, μηκύνει. καὶ οὖρα, καὶ ὑποχωρήματα, καὶ ἱδρῶτες, καὶ εὔκριτα, καὶ δύσκριτα, καὶ βραχέα, καὶ μακρὰ τὰ νοσήματα, ἐπιφαινόμενα δηλοῖ.

ιγ'. Γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον οἱ καθεστηκότες, ἥκιστα μειράκια, πάντων δὲ μάλιστα παιδία. τουτέων δὲ αὐτέων ἅπερ ἂν τύχῃ αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα.

ιδ'. Τὰ αὐξανόμενα πλεῖ-

Quinetiam per ea quæ mox apparent, eadem indicantur : *velut in pleuritide laborantibus, ſi ſputum ſtatim appareat inter initia, ipſam abbreviat: ſi verò poſteà appareat, producit. Vrinæ quoque, & alvi excrementa, & ſudores cùm apparuerint, judicatu faciles, vel difficiles, & breves vel longos fore morbos indicant.*

13. *Senes facillimè jejunium ferunt, deinde qui cōſtanti ſunt ætate, minimè adoleſcentes, ex omnibus verò præcipuè pueri, præſertim illi qui inter ipſos ſunt vividiores.*

14. *Quæ creſcunt, plurimum*

στον ἔχει τὸ ἔμφυτον θερμόν. πλείστης οὖν δεῖται τροφῆς. εἰ δὲ μή, τὸ σῶμα ἀναλίσκεται. γέρουσι δὲ ὀλίγον τὸ θερμόν. διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται· ὑπὸ πολλῶν γὰρ ἀποσβέννυται. διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως ὀξέες· ψυχρὸν γὰρ τὸ σῶμα.

ιε'. Αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πλεῖον ἔχουσι. τροφῆς οὖν πλείονος δέονται. σημεῖον, αἱ ἡλικίαι καὶ οἱ ἀθληταί.

mum habent calidi innati: plurimo igitur egent alimento: alioquin corpus absumitur. Senibus verò parum calidi inest: paucis propterea fomitibus indigent, quia à multis id extinguitur. Hanc etiam ob causam febres senibus non perinde acutæ fiunt: frigidum enim eorum corpus.

15. *Ventres hyeme & vere natura calidissimi sunt, & somni longissimi. per ea igitur tempora copiosiora alimenta sunt exhibenda, siquidem calidi innati plus habent; unde & copiosiore indigent alimento. indicio sunt ætates & athletæ.*

ιϛ'. Αἱ ὑγραὶ δίαιται πᾶσι τοῖσι πυρεταίνουσι ξυμφέρουσι, μάλιστα δὲ παιδίοισι, καὶ τοῖσιν ἄλλοισι τοῖσιν οὕτως ἐθισμένοισι διαιτᾶσθαι.

ιζ'. Καὶ οἷσιν ἅπαξ, ἢ δὶς, καὶ πλείω, ἢ ἐλάσσω, καὶ κατὰ μέρος. δοτέον δέ τι καὶ τῇ ὥρῃ, καὶ τῇ χώρῃ, καὶ τῇ ἡλικίῃ, καὶ τῷ ἔθει.

ιη'. Θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήϊστα, ἦρος δεύτερον.

ιθ'. Τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι, μηδ' ἀναγκάζειν, ἀλλ' ἀφαιρέειν τῶν προσθεσίων πρὸ τῶν κρισίων.

κ'. Τὰ

16. *Victus humidus febricitantibus omnibus confert, maximè verò pueris, & aliis qui tali victu uti consueverunt.*

17. *Et quibus semel, aut bis, plura aut pauciora, & per partes* offerre oporteat, considerandum. *Concedendum autem aliquid tempestati anni, regioni, ætati, & consuetudini.*

18. *Æstate & autumno cibos difficillimè ferũt, hyeme facillimè, deinde vere.*

19. *Quibus per circuitus accessiones contingunt, nihil dato, neque cogito, sed de cibis ante judicationes detrahito.*

κ'. Τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως, μὴ κινέειν, μηδὲ νεωτεροποιέειν, μήτε φαρμακείῃσι, μήτ' ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ' ἐᾷν.

κα'. Ἃ δεῖ ἄγειν, ὅκου ἂν μάλιστα ῥέπῃ, ταύτῃ ἄγειν, διὰ τῶν ξυμφερόντων χωρίων.

κβ'. Πέπονα φαρμακεύειν καὶ κινέειν, μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ. τὰ δὲ πλεῖστα οὐκ ὀργᾷ.

κγ'. Τὰ χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' ὡς ἂν χωρέῃ οἷα δεῖ, καὶ φέρῃ εὐφόρως. καὶ ὅκου δεῖ μέχρι λειποθυμίης ἄγειν, καὶ τοῦτο ποιέειν, ἢν ἐξαρκέσῃ ὁ νοσέων.

κδ'. Ἐν

20. *Quæ judicantur, & judicata sunt perfectè, ne moveto, neq; innovato, sive purgãtib. medicamẽtis, sive aliis irritamentis, sed sinito.*

21. *Quæ educere oportet, quò maximè vergũt, eò ducẽda, per loca convenientia.*

22. *Concocta medicamẽto purgante educenda, & movenda non cruda, neque per initia, nisi turgeant: plurima verò non turgent.*

23. *Excreta non copia sunt æstimanda, sed si qualia oportet exeant, & facilè ferat æger.* Atque ubi ad animi defectionem educere expedit, faciendum id quoque, si æger par esse possit.

κδ'. Ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις, καὶ ἐν ἀρχῆσι, τῆσι φαρμακείῃσι χρέεσθαι, καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν.

κε'. Ἢν οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι. τὰ δ' ἐναντία, δυσχερῶς.

Τμῆμα δεύτερον.

Α'.

ἘΝ ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον. ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον.

β'. Ὅκου παραφροσύνην ὕπνος παύῃ, ἀγαθόν.

γ'. Ὕπνος,

24. *In acutis morbis rarò, & in principiis, medicamentis purgantibus utendum, idque diligenti ante adhibita circumspectione faciendum.*

25. *Si qualia oportet purgari, purgentur, confert, & facilè ferunt: si contraria, difficulter.*

Sectio secunda.

I.

Q*Vo in morbo somnus noxam adfert, lethale: si verò somnus prosit, minimè lethale.*

2. *Vbi delirium somnus sedaverit, bonum.*

γ'. Ὕπνος, ἀγρυπνίη, ἀμφότερα τοῦ μετρίου μᾶλλον γενόμενα, κακόν.

δ'. Οὐ πλησμονὴ, οὐ λιμὸς, οὐδ' ἄλλο οὐδὲν ἀγαθὸν, ὅ, τι ἂν μᾶλλον τῆς φύσιος ᾖ.

ε'. Κόποι αὐτόματοι φράζουσι νούσους.

ς'. Ὁκόσοι πονέοντές τι τοῦ σώματος, τὰ πολλὰ τῶν πόνων οὐκ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσέει.

ζ'. Τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα σώματα, νωθρῶς ἐπανατρέφειν δεῖ. τὰ δὲ ἐν ὀλίγῳ, ὀλίγως.

η'. Ἢν ἐκ νούσου τροφὴν λαμβάνων τις μὴ ἰσχύῃ, σημαίνει ὅτι πλείονι τροφῇ τὸ

3. *Somnus, vigiliæ, utraque modum excedentia, malum.*

4. *Non ſatietas, non fames, neque aliud quicquam quod naturæ modum excedat, bonum.*

5. *Spontaneæ laſſitudines morbos denuntiant.*

6. *Qui aliqua corporis parte dolentes, ferè dolorem non ſentiunt, iis mens ægrotat.*

7. *Quæ longo tempore extenuata ſunt corpora, ſenſim reficere oportet, quæ verò brevi, celeriter.*

8. *Si à morbo cibum capiens quiſpiam vires non recipiat, copioſiore alimento*

σῶμα χρέεται. ἢν δὲ τροφὴν λαμβάνοντος τοῦτο γίγνηται, χρὴ εἰδέναι ὅτι κενώσιος δεῖται.

θ'. Τὰ σώματα χρὴ, ὅκου ἄν τις βούληται καθαίρειν, εὔροα ποιέειν.

ι'. Τὰ μὴ καθαρὰ τῶν σωμάτων ὁκόσον ἂν θρέψῃς, μᾶλλον βλάψεις.

ια. Ῥᾷον πληροῦσθαι ποτοῦ, ἢ σιτίου.

ιβ'. Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, ὑποστροφὰς ποιέειν εἴωθεν.

ιγ'. Ὁκόσοισι κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ. ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπὶ τὸ πολύ.

ιδ'. Ἐν

corpus uti indicat: Si verò cibum non capienti idem eveniat, vacuatione indigere ſciendum eſt.

9. *Corpora quum quis purgare volet, ea fluxilia faciat oportet.*

10. *Impura corpora quò plus nutriveris, eò magis læſeris.*

11. *Facilius eſt potu refici quàm cibo.*

12. *Quæ in morbis poſt criſim relinquuntur, recidivas facere conſueverunt.*

13. *Quibus criſis fit, his nox, quæ acceſſionem præcedit, gravis; quæ verò ſubſequitur, levior ferè ſolet exiſtere.*

14. *In*

ιδ'. Ἐν τῇσι τῆς κοιλίης ῥύσεσιν αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐς τὰ πονηρὰ μεταβάλλῃ.

ιε'. Ὅκου φάρυγξ νοσέει, ἢ φύματα ἐν τῷ σώματι ἐκφύεται, σκέπτεσθαι χρὴ τὰς ἐκκρίσιας. ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα ξυννοσέει· ἢν δὲ ὅμοιαι τοῖσιν ὑγιαίνουσι γίγνωνται, ἀσφαλὲς τὸ σῶμα τρέφειν.

ιϛ'. Ὅκου λιμὸς, οὐ δεῖ πονέειν.

ιζ'. Ὅκου ἂν τροφὴ παρὰ φύσιν πλείων ἐσέλθῃ, τοῦτο νοῦσον ποιέει. δηλοῖ δὲ καὶ ἡ ἴησις.

ιη'. Τῶν τρεφόντων ἀθρόως καὶ ταχέως, ταχεῖαι

14. *In profluviis alvi mutationes excremẽtorum juvant, niſi in prava mutentur.*

15. *Vbi fauces ægrotant, aut tubercula exoriuntur in corpore, excrementa ſpectare oportet. Nam ſi bilioſa fuerint, unà corpus ægrotat: Si verò ſanorum ſimilia extiterint, tutò corpus alere poteris.*

16. *Vbi fames, laborandum non eſt.*

17. *Vbi præter naturam copioſior cibus ingeſtus eſt, morbum id creat: quod oſtendit etiam curatio.*

18. *Eorum quæ confertim & celeriter alunt, celeres*

etiam

καὶ αἱ διαχωρήσιες γίγνονται.

ιθ'. Τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προδιαγορεύσιες, οὔτε τοῦ θανάτου, οὔτε τῆς ὑγιείης.

κ'. Ὁκόσοισι νέοισιν ἐοῦσιν αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν ἀπογηράσκουσιν ξηραίνονται. ὁκόσοισι δὲ νέοισιν ἐοῦσιν αἱ κοιλίαι ξηραί εἰσι, τουτέοισι πρεσβυτέροισι γινομένοισιν ὑγραίνονται.

κα'. Λιμὸν θώρηξις λύει.

κβ'. Ἀπὸ πλησμονῆς ὁκόσα ἂν νοσήματα γένηται, κένωσις ἰῆται. καὶ ὁκόσα ἀπὸ κενώσιος, πλησμονή. καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις.

κγ'. Τὰ ὀξέα τῶν νοσημάτων κρίνε-

etiam fiunt excretiones.

19. *Morborum acutorum non omninò certæ ſunt prædictiones, neque mortis, neque ſalutis.*

20. *Quibus per juventutem alvi ſunt humidæ, iis ſeneſcentibus exſiccantur: quibus vero in juventute alvi ſunt ſiccæ, iis ſeneſcentibus humectantur.*

21. *Famem vini potus ſolvit.*

22. *Morbos qui ex repletione fiunt, curat evacuatio, eos verò qui ex evacuatione, repletio, & in cæteris contrarietas* remedio eſt.

23. *Morbi acuti judican-*

κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι.

κδ΄. Τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος. ἑτέρης ἑβδομάδος ἡ ὀγδόη ἀρχή. θεωρητὴ δὲ ἡ ἑνδεκάτη· αὕτη γάρ ἐστι τετάρτη τῆς ἑτέρης ἑβδομάδος. θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη. αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ ἑνδεκάτης.

κε΄. Οἱ θερινοὶ τεταρταῖοι τὰ πολλὰ γίνονται βραχέες. οἱ δὲ φθινοπωρινοὶ μακροὶ, καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες.

κϛ΄. Πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ.

dicantur intra dies quatuordecim.

24. *Index ſeptimi quartus. Sequentis ſeptimanæ octavus initium. Spectandus quoque eſt undecimus, ſiquidem is ſecundæ ſeptimanæ quartus eſt. Rurſumque decimusſeptimus ſpectandus: is enim à quartodecimo quartus eſt, & ab undecimo ſeptimus.*

25. *Æſtivæ quartanæ plerunque breves ſunt: Autumnales verò longæ, & maximè quæ ad hyemem pertingunt.*

26. *Febrem convulſioni ſupervenire ſatius eſt, quàm convulſionem febri.*

κζ'. Τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως. τὰ γὰρ πολλὰ τῶν τοιουτέων ἐστὶν ἀβέβαια, καὶ οὐ πάνυ τι διαμένειν, οὐδὲ χρονίζειν εἴωθε.

κη'. Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως, τὸ διαμένειν καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν. τὸ μὲν γὰρ μῆκος νούσου σημαίνει, τὸ δὲ ἀσθένειαν.

κθ'. Ἀρχομένων τῶν νούσων ἤν τι δοκέῃ κινέειν, κίνει· ἀκμαζουσῶν δὲ ἡσυχίην ἔχειν βέλτιόν ἐστιν.

λ'. Πε-

27. Iis quæ non cum ratione ſublevant, non oportet fidere; neque multum formidare mala quæ præter rationem eveniunt: plurimæ enim horum incerta ſunt, nec admodum perſeverare, aut longo tempore durare conſueverunt.

28. Febricitantium non omninò leviter, corpus ſibi conſtare nec minui, aut etiam plus æquo colliquefieri, malum. Illud ſiquidẽ morbi longitudinem, hoc verò imbecillitatem ſignificat.

29. Incipientibus morbis, ſiquid movendum videtur, move: Vigentibus autem quieſcere multò præſtat.

λ'. Περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη, πάντα ἀσθενέστερα· περὶ δὲ τὰς ἀκμὰς, ἰσχυρότερα.

λα'. Τῷ ἐξ ἀῤῥωστίης εὐσιτέοντι μηδὲν ἐπιδιδόναι τὸ σῶμα, μοχθηρόν.

λβ'. Ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες, κατ' ἀρχὰς μὲν εὐσιτέοντες, καὶ μηδὲν ἐπιδιδόντες, πρὸς τῷ τέλει πάλιν ἀσιτέουσιν. οἱ δὲ κατ' ἀρχὰς μὲν ἀσιτέοντες ἰσχυρῶς, ὕστερον δὲ εὐσιτέοντες, βέλτιον ἀπαλλάσσουσιν.

λγ'. Ἐν πάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγα-

30. *Circa initia & fines* morborum *remissiora sunt omnia: vigentibus verò vehementiora.*

31. *Si à morbo bellè comedenti corpus non proficiat, malum.*

32. *Vt plurimum omnes malè habentes, circa initia quidem cibum benè sumentes, neque quicquam proficientes, tandem cibum rursus aversantur: qui verò circa initia cibum vehementer fastidiunt, posteà autem benè appetunt, ii melius evadunt.*

33. *In quovis morbo valere ratione, rectéque se ad ea quæ offeruntur habere,*

ἀγαθόν. τὸ δὲ ἐναντίον, κακόν.

λδʹ. Ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν οἷσιν ἂν οἰκείη τῆς φύσιος, καὶ τῆς ἡλικίης, καὶ τῆς ἕξιος, καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων.

λεʹ. Ἐν πάσῃσι τῇσι νούσοισι τὰ περὶ τὸν ὀμφαλὸν καὶ ἦτρον πάχος ἔχειν, βέλτιόν ἐστι. τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκὸς, μοχθηρόν. ἐπισφαλὲς δὲ τὸ τοιοῦτον καὶ πρὸς τὰς κάτω καθάρσιας.

λϛʹ. Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα, ἐν τῇσι φαρμακείῃσι καθαιρόμενοι, ἐκλύον-

bonum: Contrarium verò malum.

34. *In morbis minus periclitantur, quorum naturæ, & ætati, & habitui, & anni tẽpestati morbus magis cognatus fuerit, quàm quibus in nullo horum cognatus fuerit.*

35. *Omnibus in morbis partes quæ ad umbilicum & imum ventrem sunt, crassitudinem habere, melius est: valdè verò tenues & tabefactas esse, pravum.* Sed *& hoc quoque ad infernas purgationes periculosum.*

36. *Sana habentes corpora, pharmacis purgati*

ἐκλύονται ταχέως, καὶ οἱ πονηρῇ τροφῇ χρεόμενοι.

λζ'. Οἱ εὖ τὰ σώματα ἔχοντες, φαρμακεύεσθαι ἐργώδεες.

λη'. Τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ, τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ, μᾶλλον αἱρετέον.

λθ'. Οἱ πρεσβῦται τῶν νέων τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον. ὅσα δὲ αὖ αὐτέοισι χρόνια νοσήματα γίνηται, τὰ πολλὰ ξυναποθνήσκει.

μ'. Βράγχοι καὶ κόρυζαι τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ πεπαίνονται.

μα'. Οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς ἄνευ φανερῆς προφάσιος,

citò exolvuntur, ut & qui pravo utuntur cibo.

37. *Qui bona ſunt corporis valetudine, purgationes difficulter ferunt.*

38. *Paulò deterior & potus & cibus, ſuavior tamẽ, melioribus quidem, ſed inſuavioribus, præferendus.*

39. *Magnam partem ſenes juvenibus minus ægrotant: quicunque verò morbi iis accidunt diuturni, plerunque commoriuntur.*

40. *Raucedines & gravedines in valdè ſenibus non coquuntur.*

41. *Qui ſæpè & vehementer ſine cauſa manifeſta animo linquuntur,*

φάσιος, ἐξαπίνης τελευτῶσι.

μβ'. Λύειν ἀποπληξίην ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον.

μγ'. Τῶν ἀπαγχομένων καὶ καταλυομένων, μηδέπω δὲ τεθνηκότων, οὐκ ἀναφέρουσιν οἷσιν ἂν ἀφρὸς ᾖ περὶ τὸ στόμα.

μδ'. Οἱ παχέες σφόδρα κατὰ φύσιν, ταχυθάνατοι γίγνονται μᾶλλον τῶν ἰσχνῶν.

με'. Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν ἀπαλλαγὴν αἱ μεταβολαὶ μάλιστα τῆς ἡλικίης, καὶ τῶν τόπων, καὶ τῶν βίων ποιέουσι.

μϛ'. Δύο πόνων ἅμα γινομένων μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφο-

ii derepentè moriuntur.

42. *Solvere apoplexiam vehementẽ impoſſibile quidem, levem verò non facile.*

43. *Ex iis qui ſtrangulantur & diſſolvuntur, necdum tamen mortui ſunt, non ſe recolligunt quibus ſpuma circa os fuerit.*

44. *Qui naturâ ſunt valdè craſſi, citius moriuntur quàm qui graciles.*

45. *A comitiali morbo, juvenes mutatione potiſſimùm ætatis, & regionum, & victuum, liberationem accipiunt.*

46. *Duobus doloribus ſimul obortis, non eadem tamen in parte, vehemen-*

σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον.

μζ΄. Περὶ τὰς γενέσιας τοῦ πύου, οἱ πόνοι καὶ οἱ πυρετοὶ συμβαίνουσι μᾶλλον, ἢ γενομένου.

μη΄. Ἐν πάσῃ κινήσει τοῦ σώματος, ὁκόταν ἄρχηται πονέειν, τὸ διαναπαύειν εὐθὺς ἄκοπον.

μθ΄. Οἱ εἰθισμένοι τοὺς συνήθεας πόνους φέρειν, κἢν ὦσιν ἀσθενέες ἢ γέροντες, τῶν ἀσυνήθων, ἰσχυρῶν τε καὶ νέων, ῥᾷον φέρουσι.

ν΄. Τὰ ἐκ πολλοῦ χρόνου συνήθεα, κἢν ᾖ χείρω, τῶν ἀσυνήθων ἧσσον ἐνοχλεῖν εἴωθε. δεῖ οὖν καὶ ἐς τὰ ἀσυνήθεα μεταβάλλειν.

να΄. Τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν,

mentior alterum obſcurat.

47. *Dum pus fit, dolores ac febres accidunt magis, quàm confecto.*

48. *In omni corporis motu, ubi fatigari cœperit, quies ſtatim laſſitudinem levat.*

49. *Conſueti ſolitos labores ferre, etſi fuerint invalidi aut ſenes, non conſuetis, quamvis robuſtis & juvenibus, facilius ferunt.*

50. *Conſueta longo tempore, etiamſi deteriora ſint, inſuetis minus moleſta ſolent eſſe. Quare ad inſolita quoque facienda mutatio.*

51. *Plurimùm & repentè vacuare, vel replere,*

νειν, ἢ ψύχειν, ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινεῖν, σφαλερόν. καὶ γὰρ πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον. τὸ δὲ κατ᾽ ὀλίγον, ἀσφαλὲς, καὶ ἄλλως ἢν καί τις ἐξ ἑτέρου ἐφ᾽ ἕτερον μεταβαίνῃ.

νβ΄. Πάντα κατὰ λόγον ποιέοντι, καὶ μὴ γινομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ᾽ ἕτερον, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς.

νγ΄. Ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι, νέοι μὲν ὄντες, βέλτιον ἀπαλλάσσουσι τῶν τὰς ξηρὰς ἐχόντων. ἐς δὲ τὸ γῆρας, χεῖρον ἀπαλλάσσουσι. ξηραίνονται γὰρ ὡς ἐπὶ

τὸ

re, vel calefacere, vel refrigerare, aut alio quovis modo corpus movere, periculosum: omne siquidem nimium naturæ inimicum. Paulatim verò quod fit, tutum, & præsertim si quis ab uno ad aliud transierit.

52. *Omnia secundum rationem facienti; si non succedant secundum rationem, non est transeundum ad aliud, manente eo quod ab initio visum fuit.*

53. *Quicunque alvos humidas habent, siquidem juvenes fuerint, meliùs degunt his qui siccas habent. At in senectute deteriùs degunt; nam senescentibus*

ut

τὸ πολὺ τοῖσιν ἀπογηράσκουσι.

νδ'. Μεγέθει δὲ σώματος ἐννεάσαι μὲν, ἐλευθέριον καὶ οὐκ ἀειδές· ἐγγηράσαι δὲ, δύσχρηστον, καὶ χεῖρον τῶν ἐλασσόνων.

Τμῆμα τρίτον.

Α'.



Ι μεταβολαὶ τῶν ὡρέων μάλιστα τίκτουσι νοσήματα· καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ ἢ ψύξιος, ἢ θάλψιος, καὶ τ' ἄλλα κατὰ λόγον οὕτως.

β'. Τῶν φυσίων αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ ἢ κακῶς πεφύκασι.

ut plurimùm ſiccantur.

54. *In procero corpore juventutem exigere, liberale eſt, nec indecorum. eidem verò inſeneſcere incommodum, & deterius brevitate.*

Sectio tertia.

I.

M*Vtationes temporum potiſſimùm pariunt morbos: & in ipſis temporibus magnæ mutationes aut frigoris, aut caloris; & alia pro ratione eodẽ modo.*

2. *Naturarum quædã ad æſtatẽ, aliæ verò ad hyemem benè aut malè ſe habent.*

γ'. Τῶν νούσων ἄλλαι πρὸς ἄλλας εὖ ἢ κακῶς πεφύκασι· καὶ ἡλικίαι τινὲς πρὸς ὥρας, καὶ χώρας, καὶ διαίτας.

δ'. Ἐν τῇσιν ὥρῃσιν, ὅταν τῆς αὐτῆς ἡμέρης, ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος γίγνηται, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι χρή.

ε'. Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι πάσχουσιν· ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραὶ, δυσουρίαι, φρικώδεες, ὀδύναι πλευρέων, στηθέων. ὁκόταν

3. *Morbi alii ad alia benè vel malè ſe habent: & quædam ætates ad anni tempora, & loca, & victus genera.*

4. *Per anni tempeſtates, quando eodẽ die modò calor, modò frigus fit, autumnales morbos expectare convenit.*

5. *Auſter auditum hebetat, caliginem inducit, caput gravat, pigros & languidos reddit. Cum hic dominatum tenuerit, talia in morbis patiuntur. ſi verò aquilonia fuerit tempeſtas, tuſſes, faucium aſperitates, alvi duræ, urinæ difficultates, horrores, laterum & pectoris dolores* fiunt. *Quum*

ἔτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀρρωστίῃσι προσδέχεσθαι χρή.

ϛ'. Ὁκόταν θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλοὺς προσδέχεσθαι χρή.

ζ'. Ἐν τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίνονται· καὶ ἢν μὲν ἐπὶ πλέον ᾖ τὸ ἔτος τοιοῦτον ἐὸν, οἵην τὴν κατάστασιν ἐποίησεν, ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ νοσήματα τοιαῦτα δεῖ προσδέχεσθαι.

η'. Ἐν τοῖσι καθεστεῶσι καιροῖσιν, ἢν ὡραίως τὰ ὡραῖα ἀποδιδῶσιν, εὐσταθέες καὶ εὐκρινέες αἱ νοῦσοι γίνονται. ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν ἀκατάστατοι καὶ δύσκριτοι.

hæc tempeſtas dominatum tenuerit, talia in morbis expectare oportet.

6. Quum æſtas fit ſimilis veri, ſudores in febribus multos expectare oportet.

7. Per ſiccitates febres acutæ fiunt; & ſiquidem annus magna ex parte talis extiterit, qualem effecerit conſtitutionem, tales ut plurimùm quoque morbos expectare oportet.

8. Conſtantibus temporibus, ſi tempeſtiva tempeſtivè fiant, morbi ſtabiles & boni judicii accidunt. Inconſtantibus autem inſtabiles, & mali judicii.

θ'. Ἐν φθινοπώρῳ ὀξύταται αἱ νοῦσοι, καὶ θανατωδέσταται τὸ ἐπίπαν. ἦρ δὲ ὑγιεινότατον, καὶ ἥκιστα θανατῶδες.

ι'. Τὸ φθινόπωρον τοῖς φθίνουσι κακόν.

ια'. Περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος πυρετοὺς ὀξέας, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι, μάλιστα δὲ τῇσι γυναιξὶ, καὶ ἀνδράσι τοῖσιν ὑγροῖσι τὰς φύσιας.

ιβ'. Ἢν δὲ νότιος ὁ χειμὼν, καὶ ἔπομβρος, καὶ εὔδιος γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, αἱ μὲν γυναῖκες ἦσιν

οἱ τό-

9. *Autumno in universum morbi acutissimi & perniciosissimi: Ver autem saluberrimum & minimè exitiale.*

10. *Autumnus tabidis malus.*

11. *Inter anni partes, si hyems sicca & aquilonia, ver pluviosum & australe fuerit, æstate necesse est febres acutas fieri, & ophthalmias, & dysenterias, mulieribus præsertim & viris naturâ humidioribus.*

12. *At si australis hyems, & pluviosa, & clemens fuerit, ver autẽ siccũ & aquiloniũ, mulieres quibus par-*

οἱ τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουσιν. αἱ δ' ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα τὰ παιδία τίκτουσιν, ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι, ἢ λεπτὰ καὶ νοσώδεα ζῆν ἐόντα. τοῖσι δὲ ἄλλοισι βροτοῖσι δυσεντερίαι, καὶ ὀφθαλμίαι ξηραὶ γίνονται. τοῖσι δὲ πρεσβυτέροισι κατάῤῥοοι συντόμως ἀπολλύντες.

ιγ'. Ἢν δὲ τὸ θέρος αὐχμηρὸν καὶ βόρειον γένηται, τὸ δὲ φθινόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίαι ἐς τὸν χειμῶνα γίνονται, καὶ βῆχες, καὶ βράγχοι, καὶ κόρυζαι, ἐνίοισι δὲ καὶ φθίσιες.

ιδ'. Ἢν δὲ βόρειον ᾖ καὶ ἄνυδρον,

τοῖσι

tus in ver incidit, quavis occasione abortiunt: quæ verò pepererint, infirmos & morbosos infantes edũt, ita, ut vel statim intereant, vel tenues & valetudinarii vivant. Cæteris verò mortalibus dysenteriæ & ophthalmiæ siccæ fiunt, & senibus catarrhi perniciem brevi allaturi.

13. *Si verò æstas sicca & aquilonia fuerit, autumnus autem pluviosus & australis, capitis dolores ad hyemem fiunt, & tusses, & raucitates, & gravedines, nonnullis etiam tabes.*

14. *Si verò aquilonius sit & siccus* autumnus,

τοῖσι μὲν ὑγροῖσι ἐοῦσι τὰς φύσιας, καὶ τῇσι γυναιξὶ ξύμφορον· τοῖσι δὲ λοιποῖσιν ὀφθαλμίαι ἔσονται ξηραὶ, καὶ πυρετοὶ ὀξέες, καὶ κόρυζαι χρόνιαι, ἐνίοισι δὲ καὶ μελαγχολίαι.

ιε'. Τῶν δὲ καταστασίων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσιν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες.

ιϛ'. Νοσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρίῃσιν ὡς τὰ πολλὰ γίνεται πυρετοί τε μακροὶ, καὶ κοιλίης ῥύσιες, καὶ σηπεδόνες, καὶ ἐπίληπτοι, καὶ ἀπόπληκτοι, καὶ κυνάγχαι. ἐν δὲ τοῖσιν αὐχμοῖσι, φθινώδεες, ὀφθαλμίαι, ἀρθρίτιδες, στραγγουρίαι, καὶ δυσεντερίαι.

ιζ'. Αἱ

hominibus natura humidis & mulieribus commodus: reliquis verò ophthalmiæ ſiccæ accident, & febres acutæ, & gravedines diuturnæ, nonnullis verò etiam melancholiæ.

15. Ex *conſtitutionibus anni, in univerſum ſiccitates aſſiduis imbribus ſunt ſalubriores, & minus mortiferæ.*

16. *Aſſiduis imbribus morbi ferè fiunt, febres longæ, fluxiones alvi, putredines, epilepſiæ, apoplexiæ, anginæ. Siccitatibus autem morbi tabifici, ophthalmiæ, articulorum dolores, urinæ & inteſtinorũ difficultates.*

17. Quo-

ιζ'. Αἱ δὲ καθ' ἡμέρην καταστάσιες, αἱ μὲν βόρειοι τά τε σώματα ξυνιστῶσι, καὶ εὔτονα, καὶ εὐκίνητα, καὶ εὔχροα, καὶ εὐηκοώτερα ποιέουσι, καὶ τὰς κοιλίας ξηραίνουσι, καὶ τὰ ὄμματα δάκνουσι, καὶ περὶ τὸν θώρηκα ἄλγημα, ἤν τι προϋπάρχῃ, μᾶλλον πονέουσιν. αἱ δὲ νότιοι διαλύουσι τὰ σώματα καὶ ὑγραίνουσι, καὶ βαρυηκοΐας, καὶ καρηβαρίας ποιέουσιν, καὶ ἰλίγγους ἐν τοῖσιν ὀφθαλμοῖσι, καὶ τοῖσι σώμασι δυσκινησίην, καὶ τὰς κοιλίας ὑγραίνουσι.

ιη'. Κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος καὶ ἄκρου τοῦ θέρεος, οἱ παῖδες, καὶ οἱ τουτέων ἐχόμενοι τῇσιν ἡλικίῃσιν, ἄριστά τε διάγουσι, καὶ ὑγιαίνουσι μάλιστα. τοῦ δὲ θέρεος

17. *Quotidianæ autem constitutiones, aquiloniæ quidem, cogunt corpora, & firma, agilia, benéque colorata ac auditu valentiora reddunt, alvum siccant, oculos mordent, & si pectus dolor aliquis prius habuerit, exasperant: at austrinæ corpora exolvunt & humectant, auditum hebetant, caput gravant, vertiginem oculis, tarditatem corporibus adferunt, alvum humectant.*

18. *Per tempora verò anni, vere quidem & prima æstate pueri, & his ætate proximi, optimè degunt valéntque maximè. Æstate verò*

θέρεος δὲ καὶ τοῦ φθινοπώρου μέχρι μέν τινος οἱ γέροντες. τὸ δὲ λοιπὸν τοῦ φθινοπώρου καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσιν ἡλικίῃσι.

ιθʹ. Νοσήματα δὲ πάντα ἐν πάσῃσι τῇσιν ὥρῃσι γίνεται, μᾶλλον δ᾽ ἔνια κατ᾽ ἐνίας αὐτέων καὶ γίνεται καὶ παροξύνεται.

κʹ. Τοῦ μὲν γὰρ ἦρος τὰ μανικὰ, καὶ τὰ μελαγχολικὰ, καὶ τὰ ἐπιληπτικὰ, καὶ αἵματος ῥύσιες, καὶ κυνάγχαι, καὶ κόρυζαι, καὶ βράγχοι, καὶ βῆχες, καὶ λέπραι, καὶ λειχῆνες, καὶ ἀλφοὶ, καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται, καὶ φύματα, καὶ ἀρθριτικά.

καʹ. Τοῦ δὲ θέρεος ἔνιά τε τουτέων, καὶ πυρετοὶ ξυνεχέες, καὶ καῦσοι, καὶ τριταῖοι

πλεῖ-

verò & autumni ad aliquam usq; partē senes. Reliquo autumno & hyeme, qui mediam ætatem agunt.

19. *Quilibet in quibusvis anni temporibus morbi fiunt: nonnulli tamen in quibusdam ipsorum magis tum fiunt, tū exacerbantur.*

20. *Vere enim furores, melancholiæ, epilepsiæ, fluxiones sanguinis, anginæ, gravedines, raucedines, tusses, lepræ, impetigines, vitiligines & pustulæ ulcerosæ plurimæ, tubercula, articulorum dolores.*

21. *Æstate verò nonnulli horum, & febres continuæ, & ardētes, & tertianæ plu-*

πλεῖστοι, καὶ τεταρταῖοι, καὶ ἔμετοι, καὶ διαῤῥοιαι, καὶ ὀφθαλμίαι, καὶ ὤτων πόνοι, καὶ στομάτων ἑλκώσιες, καὶ σηπεδόνες αἰδοίων, καὶ ἵδρωα.

κβ΄. Τοῦ δὲ φθινοπώρου, καὶ τῶν θερινῶν τὰ πολλὰ, καὶ πυρετοὶ τεταρταῖοι, καὶ πλανῆτες, καὶ σπλῆνες, καὶ ὕδρωπες, καὶ φθίσιες, καὶ στραγγουρίαι, καὶ λειεντερίαι, καὶ δυσεντερίαι, καὶ ἰσχιάδες, καὶ κυνάγχαι, καὶ ἄσθματα, καὶ εἰλεοὶ, καὶ ἐπιληψίαι, καὶ τὰ μανικὰ, καὶ τὰ μελαγχολικά.

κγ΄. Τοῦ δὲ χειμῶνος πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, κόρυζαι, βράγχοι, βῆχες, πόνοι στηθέων, καὶ πλευρέων, καὶ ὀσφύος, καὶ κεφαλαλγίαι,

plurimæ, quartanæ item, & vomitiones, alvi profluvia, ophthalmiæ, aurium dolores, oris ulcerationes, genitalium putredines, & sudationes.

22. *Autumno æstivi etiam multi* morbi fiunt, *& febres quartanæ, & erraticæ, lienes, aquæ inter cutem, tabes, urinæ stillicidia, lienteriæ, dysenteriæ, coxæ dolores, anginæ, asthmata, volvuli, epilepsiæ, insaniæ, melancholiæ.*

23. *Hyeme pleuritides, peripneumoniæ, lethargi, gravedines, raucedines, tusses, pectoris, laterum & lumborum dolores,*

γίαι, ἴλιγγοι, ἀποπληξίαι.

κδ'. Ἐν δὲ τῇσιν ἡλικίῃσι τοιάδε συμβαίνει· τοῖσι μὲν σμικροῖσι καὶ νεογνοῖσι παιδίοισιν ἄφθαι, ἔμετοι, βῆχες, ἀγρυπνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναί, ὤτων ὑγρότητες.

κε'. Πρὸς δὲ τὸ ὀδοντοφυεῖν προσάγουσιν οὔλων ὀδαξισμοί, πυρετοί, σπασμοί, διάῤῥοιαι, καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν παιδίων, καὶ τοῖσι σκληρὰς τὰς κοιλίας ἔχουσι.

κϛ'. Πρεσβυτέροισι δὲ γενομένοισι παρίσθμια, σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες, ἄσθμα-

vertigines, apoplexiæ.

24. *Secundum ætates autem hæc eveniunt. Parvis & nuper natis puerulis serpentia oris ulcera, vomitiones, tusses, vigiliæ, pavores, umbilici inflammationes, aurium humiditates.*

25. *Ad dentiendi verò tempus accedentibus gingivarum pruritus, febres, convulsiones, alvi profluvia, maximè quum caninos edunt dentes, & iis præsertim pueris qui crassissimi sunt, & qui alvo sunt dura.*

26. *Ipsis verò grandiusculis tonsillarum inflammationes, vertebræ in occipitio introrsum luxationes,*

ἄσθματα, λιθιάσιες, ἕλμινθες στρογγύλαι, ἀσκαρίδες, ἀκροχορδόνες, σατυριασμοὶ, χοιράδες, καὶ τἄλλα φύματα, μάλιστα δὲ τὰ προειρημένα.

κζʹ. Τοῖσι δὲ ἔτι πρεσβυτέροισι καὶ πρὸς τὴν ἥβην προσάγουσι, τουτέων τε τὰ πολλὰ, καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες.

κηʹ. Τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσιν. ὅσα δ' ἂν διαμείνῃ τοῖσι παιδίοισι, καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν, ἢ τῇ-

asthmata, calculi, lumbrici rotundi, ascarides, verrucæ pensiles, satyriasmi, strumæ, & alia tubercula, præcipuè verò antedicta.

27. *Grandioribus autem adhuc & ad pubertatem accedentibus, plurima ex his, & febres diuturnæ potius, & ex naribus sanguinis fluxiones.*

28. *Pueris autem plurimi morbi judicantur, alii intra dies quadraginta, nonnulli intra septem menses, quidam intra annos septem; alii ipsis ad pubertatem accedentibus. Qui verò pueris permanserint, neque circa pubertatem so-*

ἢ τῇσι θηλείῃσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας, χρονίζειν εἴωθεν.

κθ΄. Τοῖσι δὲ νεηνίσκοισιν αἵματος πτύσιες, φθίσιες, πυρετοὶ ὀξέες, ἐπιληψίαι, καὶ τ᾽ ἄλλα νουσήματα, μάλιστα δὲ τὰ προειρημένα.

λ΄. Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην ἄσθματα, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, φρενίτιδες, καῦσοι, διάῤῥοιαι χρόνιαι, χολέραι, δυσεντερίαι, λειεντερίαι, αἱμοῤῥοΐδες.

λα΄. Τοῖσι δὲ πρεσβύτῃσι δύσπνοιαι, κατάῤῥοι βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀπο-

πλη-

luti fuerint, aut fœminis quum menstrua erumpunt, inveterascere cõsueverunt.

29. *Adolescentibus sanguinis expuitiones, tabes, febres acutæ, epilepsiæ, aliique morbi, sed præcipue nunc dicti.*

30. *Vltra hanc ætatem provectis asthmata, pleuritides, peripneumoniæ, lethargi, phrenitides, ardentes febres, diuturna alvi profluvia, choleræ, dysenteriæ, lienteriæ, hæmorrhoides.*

31. *Senibus spirandi difficultates, destillationes cum tussi, stranguriæ, dysuriæ, articulorum dolores, nephritides, vertigines, apo-*

πληξίαι, καχεξίαι, ξυσμοὶ τοῦ σώματος ὅλου, ἀγρυπνίαι, κοιλίης καὶ ὀφθαλμῶν καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσιες, βαρυηκοΐαι.

Τμῆμα τέταρτον.

Α'.

Τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ, τετράμηνα καὶ ἄχρι ἑπτὰ μηνῶν· ἧσσον δὲ ταύτας. τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι χρή.

β'. Ἐν τῇσι φαρμακείῃσι τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος, ὁκοῖα καὶ αὐτόμα-

τα

plexiæ, mali corporis habitus, pruritus totius corporis, vigiliæ, alvi, oculorum & narium humiditates, visus hebetudines, glaucomata, auditus graves.

Sectio quarta.

I.

PRægnantes purgabis, si materia turgeat, quadrimestres, & usque ad septimum mensem; sed has parciùs. Iuniores autem & seniores cautè vitare oportet.*

2. *Purgantium medicamentorum usu talia è corpore educenda, qualia sponte*

ται ἰόντα χρήσιμα. τὰ δ' ἐναντίως ἰόντα, παύειν.

γ'. Ἢν μὲν οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι. τὰ δὲ ἐναντία, δυσχερῶς.

δ'. Φαρμακεύειν μὲν θέρεος μᾶλλον τὰς ἄνω· χειμῶνος δὲ τὰς κάτω.

ε'. Ὑπὸ κύνα καὶ πρὸ κυνὸς, ἐργώδεες αἱ φαρμακεῖαι.

ϛ'. Τοὺς ἰσχνοὺς καὶ εὐημέας ἄνω φαρμακεύειν, ὑποστελλομένους χειμῶνα.

ζ'. Τοὺς δὲ δυσημέας, καὶ μέσως εὐσάρκους κάτω, ὑποστελλομένους θέρος.

η'. Τοὺς

te etiam prodeuntia, juvant: Contrario verò modo exeuntia, sistenda.

3. Si qualia oportet purgẽtur, confert, & facilè ferũt: Cõtrà verò si fiat, graviter.

4. Æstate superiores potius ventres, *hyeme verò inferiores purgandi.*

5. Sub Cane, & ante Canem, difficiles sunt purgationes.

6. Graciles & ad vomendum faciles per superna purgare oportet, *caventes hyemem.*

7. Vomentes verò difficulter, & mediocriter carnosos, per inferiora, caventes æstatem.

8. Ta-

η'. Τοὺς δὲ φθινώδεας, ὑποστελλομένους τὰς ἄνω φαρμακείας.

θ'. Τοὺς δὲ μελαγχολικοὺς ἁδροτέρως τὰς κάτω, τῷ αὐτῷ λογισμῷ τἀναντία προστιθείς.

ι'. Φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσιν, ἢν ὀργᾷ, αὐθημερόν· χρονίζειν γὰρ ἐν τοῖσι τοιούτοισι κακόν.

ια'. Ὁκόσοισι στρόφοι καὶ περὶ τὸν ὀμφαλὸν πόνοι, καὶ ὀσφύος ἄλγημα μὴ λυόμενον, μήτε ὑπὸ φαρμακείης, μήτ' ἄλλως, εἰς ὕδρωπα ξηρὸν ἱδρύεται.

ιβ'. Ὁκόσοισι κοιλίαι λειεντεριώ-

8. *Tabidos verò, caventes purgationes per ſuperiora.*

9. *Melancholicos infrà vehementius purgabis, eadem ratione contrariam iniens vacuandi viam.*

10. *Purgandum in valdè acutis, ſi turgeat* materia, *eodem ipſo die. differre enim in talibus, malum.*

11. *Quibus tormina adſunt & circa umbilicum cruciatus, & lumborum dolor, qui neque medicamento, neque aliter ſolvatur, in ſiccum hydropa firmatur.*

12. *Quorum alvi levitate inteſtinorum laborant,*

τερυγώδεες, χειμῶνος φαρμακεύειν ἄνω, κακόν.

ιγ΄. Πρὸς τοὺς ἐλλεβόρους τοῖσι μὴ ῥηϊδίως ἄνω καθαιρομένοισι, πρὸ τῆς πόσιος προϋγραίνειν τὰ σώματα πλείονι τροφῇ καὶ ἀναπαύσει.

ιδ΄. Ἐπὴν πίῃ τις ἐλλέβορον, πρὸς μὲν τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν, πρὸς δὲ τοὺς ὕπνους καὶ μὴ κινήσιας ἧσσον. δηλοῖ δὲ καὶ ἡ ναυτιλίη ὅτι κίνησις τὰ σώματα ταράσσει.

ιε΄. Ἐπὴν βούλῃ μᾶλλον ἄγειν τὸν ἐλλέβορον, κίνει τὸ σῶμα. ἐπὴν δὲ παῦσαι, ὕπνον ποίει καὶ μὴ κίνει.

ιϛ΄. Ἐλλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι· σπασμὸν γὰρ ἐμποιέει.

ιζ΄. Ἀπυ-

rant, eos hyeme suprà purgare, malum.

13. *Qui ad elleborum non facilè suprà purgantur, eorum corpora ante potionem copiosiore alimento & quiete præhumectanda.*

14. *Poto elloboro, corpus movendum potius, quàm somno tradendum aut quieti. Nam vel navigatio indicat motione turbari corpora.*

15. *Quum elleborum magis ducere voles, move corpus: quum verò sistere, somnum concilia, nec move.*

16. *Elleborus periculosus sanas carnes habentibus: Convulsionē enim inducit.*

17. *Non*

ιζ'. Ἀπυρέτῳ ἐόντι, ἀποσιτίη, καὶ καρδιωγμὸς, καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακείης δεῖσθαι σημαίνει.

ιη'. Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα, ὁκόσα καθάρσιος δέονται, ἄνω φαρμακείης δεῖσθαι σημαίνει. ὁκόσα δὲ κάτω, κάτω.

ιθ'. Ὁκόσα ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι καθαιρόμενοι, οὐ παύονται πρὶν ἢ διψήσωσιν.

κ'. Ἀπυρέτοισιν ἐοῦσιν ἢν γένηται στρόφος, καὶ γουνάτων βάρος, καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακείης

17. *Non febricitanti cibi faſtidium, oris ventriculi morſus, vertigo tenebricoſa, & oris amaritudo, purgatione per ſuperna opus eſſe ſignificant.*

18. *Supra ſeptum tranſverſum dolores, quicunque egent purgatione, per ſuperna purgandum eſſe ſignificant: qui verò infrà ſunt, per inferna.*

19. *Qui potione medica dum purgantur non ſitiunt, ipſorum purgandi finis non fit, donec ſitiverint.*

20. *Febris expertibus ſi tormina adſint, & genuum gravitas, & dolor lumborum, inferna purga-*

μανιης δεῖσθαι σημαίνει.

κα΄. Ὑποχωρήματα μέλανα, ὁκοῖον αἷμα μέλαν, ἀπ᾽ αὐτομάτου ἰόντα, καὶ ξὺν πυρετῷ, καὶ ἄνευ πυρετοῦ, κάκιστα· καὶ ὁκόσῳ ἂν τὰ χρώματα ὑποχωρημάτων πλείω πονηρότερα ᾖ, μᾶλλον κάκιον. ξὺν φαρμάκῳ δὲ, ἄμεινον· καὶ ὁκόσῳ ἂν χρώματα πλείω ᾖ, οὐ πονηρόν.

κβ΄. Νοσημάτων ὁκόσων ἀρχομένων, ἢν χολὴ μέλαινα ἢ ἄνω, ἢ κάτω ἐπέλθῃ, θανάσιμον.

κγ΄. Ὁκόσοισιν ἐκ νουσημάτων ὀξέων, ἢ ἐκ πολυχρονίων, ἢ ἐκ τρωμάτων, ἢ ἄλλως πως λεπτυνομένοις χολὴ μέλαινα, ἢ

ὁκοῖον

tione opus esse significant.

21. *Excrementa alvi nigra sanguini atro similia, sponte euntia, sive cum febre, sive citra febrem, pessima: & quanto ipsorum colores pravi fuerint plures, eò deterius. A medicamento autem* talia exigi, *melius est, idque quanto ipsorum plures fuerint colores, non malum.*

22. *Morbis quibusvis incipientibus, si atra bilis suprà infráve exierit, lethale.*

23. *Quibus per morbos acutos, aut diuturnos, aut vulnera, aut alium modum extenuatis atra bilis, aut*

ὁκοῖον αἷμα μέλαν ὑπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσι.

κδ΄. Δυσεντερίη, ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.

κε΄. Αἷμα ἄνω μὲν ὁκοῖον ἂν ᾖ, κακόν. κάτω δὲ, ἀγαθὸν μέλαν ὑποχωρέον.

κϛ΄. Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ οἷον σάρκες ὑποχωρήσωσι, θανάσιμον.

κζ΄. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν· ἐν τῇσιν ἀναλήψεσι, τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται.

κη΄. Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσιος ἐπιγινομένης παύεται· καὶ ὁκόσοισι κώφωσις, χολωδέων

velut ſanguis niger ſubierit, poſtridie moriuntur.

24. *Dyſenteria, ſi ab atra bile incipiat, lethalis eſt.*

25. *Sanguinem supernè quidem* efferri, *qualiſcunque ſit, malum: Infernè verò niger ſi dejiciatur, bonum.*

26. *Si dyſenteriâ laboranti veluti carunculæ dejiciantur, mortiferum.*

27. *Quibus per febres ſanguinis undecunque eruperit copia, iis cum reficiuntur, ventres humectantur.*

28. *Quibus dejectiones ſunt bilioſæ, ſupervenienſe ſurditate ceſſant: & quibus ſurditas adeſt, bilio-*

δέων ἐπιγινομένων παύεται.

κθ'. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι ῥίγεα γίνεται, δύσκριτα.

λ'. Ὁκόσοισι παροξυσμοὶ γίνονται, ἣν ἂν ὥρην ἀφῇ ὁ πυρετὸς, ἐς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ, δύσκριτα.

λα'. Τοῖσι κοπώδεσιν ἐν τοῖσι πυρετοῖσιν, ἐς ἄρθρα καὶ παρὰ τὰς γνάθους μάλιστα αἱ ἀποστάσιες γίνονται.

λβ'. Ὁκόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν νόσων τι πονέῃ, ἐνταῦθα αἱ ἀποστάσιες γίνονται.

λγ'. Ἀτὰρ ἢν καὶ προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νοῦσος.

λδ'. Ἢν

ſorum dejectione finitur.

29. *Febricitantibus ſi ſexto die rigores fiant, judicationem habent difficilem.*

30. *Quibus paroxyſmi fiunt, quacunque hora febris dimiſerit, eadem ſi postero die repetat, judicatu difficilis eſſe ſolet.*

31. *Qui per febres laſſitudinem ſentiunt, iis ad articulos, & juxta maxillas potiſſimùm abſceſſus fiunt.*

32. *Quibus ex morbo convaleſcentibus pars aliqua laborat, eò abſceſſus fiunt.*

33. *Sed & ſi ante morbum pars quæpiam laboraverit, in eam ſe morbus obfirmat.*

λδ΄. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιγένηται, θανάσιμον.

λε΄. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ, καὶ μόγις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος, θανάσιμον.

λϛ΄. Ἱδρῶτες πυρεταίνουσιν ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐναταῖοι, καὶ ἐνδεκαταῖοι, καὶ τεσσαρεσκαιδεκαταῖοι, καὶ ἑπτακαιδεκαταῖοι, καὶ μίῃ καὶ εἰκοστῇ, καὶ ἑβδόμῃ καὶ εἰκοστῇ, καὶ τριακοστῇ πρώτῃ, καὶ τριακοστῇ τετάρτῃ. οὗτοι γὰρ οἱ ἱδρῶτες νούσους κρίνουσιν. οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνον σημαίνουσι, καὶ μῆ-

κος

34. *Si febre detento ſuffocatio derepente ſupervenerit, nullo in faucibus apparente tumore, lethale.*

35. *Si febre detento repente collum intorqueatur, ac vix deglutire queat, nullo exiſtente tumore, lethale.*

36. *Sudores febricitantibus boni, qui* manare *cœperint die tertio, quinto, ſeptimo, nono, undecimo, decimoquarto, decimoſeptimo, viceſimoprimo, viceſimoſeptimo, triceſimoprimo, & triceſimoquarto. ii enim ſudores morbos judicant. Qui ſecus evenerint, laborem, & morbi longitudinem,*

κος νούσου, καὶ ὑποτροπιασμούς.

λζ'. Οἱ ψυχροὶ ἱδρῶτες ξὺν μὲν ὀξεῖ πυρετῷ γιγνόμενοι, θάνατον· ξὺν πρηϋτέρῳ δὲ, μῆκος νούσου σημαίνουσι.

λη'. Καὶ ὅκου ἔνι τοῦ σώματος ἱδρὼς, ἐνταῦθα φράζει τὴν νοῦσον.

λθ'. Καὶ ὅκου ἔνι τοῦ σώματος θερμὸν ἢ ψυχρὸν, ἐνταῦθα ἡ νοῦσος.

μ'. Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ ἢν τὸ σῶμα καταψύχηται, ἢ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου γίνηται, μῆκος νούσου σημαίνει.

μα'. Ἱδρὼς πολὺς ἐξ ὕπνου ἄνευ φανερῆς αἰτίης γινό-

nem, & recidivas ſignificant.

37. *Frigidi ſudores, cum febre quidẽ acuta, mortem: cum mitiore verò, morbi longitudinem ſignificant.*

38. *Qua corporis parte ſudor eſt, ibi morbum eſſe ſignificat.*

39. *Et qua parte corporis ineſt calor aut frigus, ibi morbus.*

40. *Et quando toto corpore mutationes accidunt, ut ſi corpus refrigeretur & viciſſim calefiat, vel color alius ex alio oriatur, longitudinem morbi ſignificant.*

41. *Sudor multus per ſomnum citra cauſam manife-*

γινόμενος, τὸ σῶμα σημαίνει ὅτι πλείονι τροφῇ χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο γίγνηται, σημαίνει ὅτι κενώσιος δέεται.

μβ΄. Ἱδρὼς πολὺς, ψυχρὸς ἢ θερμὸς αἰεὶ ῥέων, ὁ ψυχρὸς μέιζω, ὁ δὲ θερμὸς ἐλάσσω νοῦσον σημαίνει.

μγ΄. Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, μᾶλλον ἐπικίνδυνοι· ὅτῳ δ᾽ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

μδ΄. Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι ἐγγίνονται.

με΄. Ὁκόσοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι ἐκ

πυρε-

nifestam factus, copiosiore cibo corpus uti significat: quod si cibum non assumenti hoc accidat, vacuatione indigere significat.

42. *Sudor multus, frigidus calidúsve sẽper fluens; frigidus majorem, calidus minorẽ morbum significat.*

43. *Febres quæ tertio quoque die vehementius affligentes non intermittunt, periculosiores: quoquo modo autem intermiserint, periculum abesse significant.*

44. *Quos febres longæ exercent, iis tubercula ad articulos, vel dolores fiunt.*

45. *Quibus tubercula ad articulos, vel dolores post febres*

πυρετῶν μακρῶν γίνονται, ἤτοι σιτίοισι πλείοσι χρέονται.

μϛ'. Ἢν ῥῖγος ἐμπίπτῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον.

μζ'. Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι μὴ διαλείπουσι πελιδναί, καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες, πᾶσαι κακαί. ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαί· καὶ κατὰ τὰς διαχωρήσιας, καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν.

μη'. Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον

καίη-

febres diuturnas fiunt, ii cibariis pluribus utuntur.

46. *Si rigor, febre non intermittente, ægrum jam debilem frequenter invadat, mortiferum est.*

47. *Excreationes in febribus non intermittentibus lividæ, cruentæ, fœtidæ, biliosæ, omnes malæ: commodè tamē si prodeant, bonæ. Sed eadem quoque est, eorum quæ per alvum, & urinas excernuntur, ratio. Si quid verò; quod non juvet, per hæc loca excernatur, malum.*

48. *In febribus non intermittentibus si partes externæ algeant, internæ*

uran-

καίηται, καὶ δίψαν ἔχῃ, θανάσιμον.

μθ'. Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ὀφρὺς, ἢ ὀφθαλμὸς, ἢ ῥὶς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἀσθενέος ἐόντος τοῦ σώματος, ὅ, τι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος.

ν'. Ὅκου ἂν ἐν τῷ πυρετῷ μὴ διαλείποντι δύσπνοια γένηται καὶ παραφροσύνη, θανάσιμον.

να'. Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, μῆκος νόσου σημαίνει.

νβ'. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν, ἢ ἐν τῇσιν ἄλλῃσιν ἀῤῥωστίῃσι κατὰ προαίρεσιν ὀφθαλ-

uruntur & sitiunt, lethale est.

49. *In febre non intermittente si labrum, aut supercilium, aut oculus, aut nasus pervertatur, si non videat, si non audiat, imbecillo jam corpore, quicquid horum acciderit, in propinquo mors est.*

50. *Vbi in febre non intermittente difficultas spirandi & delirium acciderit, lethale.*

51. *In febribus abscessus qui primis judicationibus non solvuntur, longitudinem morbi significant.*

52. *Quibus in febribus, aut aliis morbis voluntariè*

ὀφθαλμοὶ δακρύουσιν, οὐδὲν ἄτοπον. ὁκόσοισι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον.

νγʹ. Ὁκόσοισι δὲ ἐπὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περιγλίσχρα γίνεται, ἰσχυρότεροι γίνονται οἱ πυρετοί.

νδʹ. Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ, βραχέα ἐρεθίζουσαι ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ τι διψώδεες εἰσίν.

νεʹ. Οἱ ἐπὶ βουβῶσι πυρετοὶ πάντες κακοὶ, πλὴν τῶν ἐφημέρων.

νϛʹ. Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν. μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρα-

illacrymant oculi, abſurdum non eſt: quibus verò præter voluntatem, abſurdius.

53. Quibus per febres circa dentes lentores obnaſcuntur, iis vehementiores fiunt febres.

54. Quibus ſiccæ tuſſes, paulùm irritantes, in febribus ardentibus diu durant, ii non admodum ſiticuloſi ſunt.

55. Ex bubonibus febres omnes malæ, præter ephemeras.

56. Febricitanti ſudor ſuperveniens, febre non deficiente, malum: prorogatur enim morbus, & multam

σίῳ πλείω σημαίνει.

νζ'. Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐνοχλουμένῳ πυρετὸς ἐπιγενόμενος, λύει τὸ νόσημα.

νη'. Ὑπὸ καύσου ἐχομένῳ ἐπιγενομένου ῥίγεος, λύσις γίνεται.

νθ'. Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι τὸ μακρότατον.

ξ'. Ὁκόσοισιν ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα, λύει τὸ νόσημα.

ξα'. Πυρέσσοντι ἢν μὴ ἐν περισσῇσιν ἡμέρῃσιν ἀφῇ ὁ πυρετὸς, ὑποστροπιάζειν εἴωθεν.

ξβ'. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἴκτεροι ἐπιγίνον-

ται

tam humiditatẽ ſignificat.

57. Spaſmo aut tetano vexato febris ſi acceſſerit, morbum ſolvit.

58. Si febre ardente laboranti rigor ſuperveniat, ſolutio fit.

59. Tertiana exquiſita ſeptenis ad ſummum circuitibus judicatur.

60. Quibus per febres aures obſurduerint, iis ſanguis è naribus profluens, aut perturbata alvus, ſolvit morbum.

61. Febricitantium niſi diebus imparibus febris reliquerit, ſolet reverti.

62. Quibus per febres morbus regius ſupervene-

ται περὶ τὰς ἑπτὰ ἡμερῶν, κακόν.

ξγ'. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι καθ' ἡμέρην ῥίγεα γίνεται, καθ' ἡμέρην οἱ πυρετοὶ λύονται.

ξδ'. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τῇ ἑβδόμῃ, ἢ τῇ ἐνάτῃ, ἢ τῇ ἑνδεκάτῃ, ἢ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι ἐπιγίνονται, ἀγαθὸν, ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν ᾖ. ἢν δὲ μὴ, οὐκ ἀγαθόν.

ξε'. Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν καὶ καρδιωγμὸς, κακόν.

ξϛ'. Ἐν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσιν οἱ σπασμοὶ καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν.

ξζ'. Ἐν

rit ante diem ſeptimum, malum.

63. Quibus in febribus quotidie rigores repetunt, quotidie febres ſolvuntur.

64. Quibus per febres morbus regius die ſeptimo, aut nono, aut undecimo, aut quartodecimo ſupervenerit, bonum, niſi dextrum hypochondrium durum ſit: alioqui minimè bonum.

65. In febribus circa ventriculum vehemens æſtus & ſtomachi morſus, malum.

66. In acutis febribus convulſiones, & circa viſcera vehementes dolores, malum.

ξζ'. Ἐν τοῖσι πυρετοῖσιν οἱ ἐκ τῶν ὕπνων φόβοι ἢ σπασμοὶ, κακόν.

ξη'. Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακόν. σπασμὸν γὰρ σημαίνει.

ξθ'. Ὁκόσοισιν οὖρα παχέα, θρομβώδεα, ὀλίγα, οὐκ ἀπυρέτοισι, πλῆθος ἐπελθὸν ἐκ τουτέων λεπτὸν, ὠφελέει. μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, οἷσιν ἐξ ἀρχῆς, ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει.

ο'. Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα, οἷον ὑποζυγίων, τουτέοισι κεφαλαλγίαι ἢ πάρεισιν, ἢ παρέσονται.

οα'. Ὁκόσοισιν ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπινέφελον ἴσχει

τὸ

67. *In febribus per somnos pavores, aut convulsiones, malum portendunt.*

68. *In febribus spiritus offendens, malo est: convulsionem enim significat.*

69. *Quibus non sine febri urinæ sunt crassæ, grumosæ, & paucæ, si ab his tenues & copiosæ meiantur, prosunt. Maximè verò tales redduntur, quibus statim ab initio, vel non ita multò post sedimentum inest.*

70. *Quibus per febres urinæ turbatæ, quales iumentorum, iis dolor capitis vel adest, vel aderit.*

71. *Quibus die septimo futura crisis est, iis*

τὸ οὖρον τῇ τετάρτῃ ἐρυθρὸν, καὶ τ' ἄλλα κατὰ λόγον.

οβ'. Ὁκόσοισιν οὖρα διαφανέα λευκὰ, πονηρά· μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται.

ογ'. Ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα, ὀσφύος ἀλγήματος ἐπιγινομένου, αἱ κοιλίαι τουτέοισι καθυγραίνονται, ἢν μὴ φῦσαι καταῤῥαγέωσιν, ἢ οὔρου πλῆθος ἐπέλθῃ. ἐν πυρετοῖσι δὲ ταῦτα.

οδ'. Ὁκόσοισιν ἐλπὶς ἐς τὰ ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσιος οὖρον πολὺ, καὶ παχὺ, καὶ λευκὸν γινόμενον, οἷον ἐν τοῖσι κοπώδεσι πυρετοῖσι

τεταρ-

urina rubram die quarto nubeculam habet, cateraque pro ratione.

72. *Quibus pellucida & alba ſunt urina, mala; pracipuè verò in phreneticis apparent.*

73. *Quibus ſublata hypochondria murmurant, lumborum ſuperveniente dolore, iis alvi humectantur, niſi infernè flatus erumpant, aut urina multitudo prodeat. Atque hac in febribus.*

74. *Quibus ſpes eſt ad articulos abſceſſum futurum, abſceſſu liberat urina multa, craſſa, & alba reddita: qualis in febribus cum laſſitu-*

τεταρταίοισιν ἄρχεται ἐνίοισι γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχὺ λύεται.

οε'. Ἢν αἷμα ἢ πῦον οὐρέῃ, τῶν νεφρῶν, ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει.

ος'. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία μικρὰ, ἢ ὥσπερ τρίχες ξυνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

οζ'. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα συνεξουρέεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

οη'. Ὁκόσοι ἀπὸ ταυτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει.

ſitudinis ſenſu quarto die quibuſdam exire incipit. quòd ſi ex naribus etiam ſanguis profluxerit, brevi admodum ſolutio fit.

75. Si quis ſanguinem aut pus meiat, renum aut veſicæ exulcerationem ſignificat.

76. Quibus cum urina craſſa exiguæ carunculæ, aut veluti pili unà exeunt, his à renibus excernuntur.

77. Quibus cum urina craſſa furfureæ quædam ſimul minguntur, his veſica ſcabie laborat.

78. Qui ſponte ſanguinẽ meiunt, iis à renibus venulam ruptã eſſe ſignificatur.

79. Qui-

οθʹ. Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα ὑφίσταται, τουτέοισιν ἡ κύστις λιθιᾷ.

πʹ. Ἢν αἷμα οὐρέῃ καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον καὶ ἐς τὸ περίναιον, τὰ περὶ τὴν κύστιν πονεῖ.

παʹ. Ἢν αἷμα καὶ πῦον οὐρέῃ, καὶ λεπίδας, καὶ ὀσμὴ βαρεῖα ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει.

πβʹ. Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φῦμα φύεται, τουτέοισι, διαπυήσαντος καὶ ἐκραγέντος, λύσις.

πγʹ. Οὔρησις νύκτωρ πολλὴ

79. *Quibus in urina ſubſident ſabuloſa, iis veſica calculo laborat.*

80. *Si quis ſanguinem aut grumos meiat, aut urinam guttatim emittat, & dolor ad imum ventrem ac interfemineum incidat, ea quæ circa veſicam ſunt laborant.*

81. *Si quis ſanguinem, aut pus, aut ſquamulas meiat, & gravis odor adſit, veſicæ exulceratio ſignificatur.*

82. *Quibus in meatu urinario naſcitur tuberculum, ſuppurato eo & rupto, ſolutio.*

83. *Mictus noctu plurimus*

ληγομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.

Τμῆμα πέμπτον.

Α΄.



Πασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον.

β΄. Ἐπὶ τρώματι σπασμὸς ἐπιγινόμενος, θανάσιμον.

γ΄. Αἵματος πολλοῦ ῥυέντος, σπασμὸς ἢ λυγμὸς ἐπιγινόμενος, κακόν.

δ΄. Ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγινόμενος, κακόν.

ε΄. Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπι-

mus parvam dejectionem significat.

Sectio quinta.

I.

Convulsio ab elleboro, lethalis.

2. Convulsio vulneri superveniens, lethalis.

3. A copioso sanguinis fluxu singultus, aut convulsio, malum.

4. A purgatione immodica, convulsio aut singultus superveniens, malum.

5. Si ebrius quispiam derepente obmutescat, convulsus moritur, nisi febre

ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται.

ς'. Ὁκόσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέσσαρσιν ἡμέρῃσιν ἀπόλλυνται. ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

ζ'. Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετάστασιν ἴσχει. ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τουτέοισι τὰ πολλὰ ξυναποθνήσκει.

η'. Ὁκόσοι πλευριτικοὶ γενόμενοι οὐκ ἀνακαθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι, τουτέοισιν ἐς ἐμπύημα μεθίσταται.

θ'. Φθίσιες γίνονται μάλιστα ἡλικίῃσιν τῇσιν ἀπὸ ὀκτωκαί-

δεκα

corripiatur, aut ubi ad horam pervenerit qua crapulæ ſolvuntur, vocem recuperet.

6. Qui tetano corripiuntur, intra quatuor dies intereunt: ſi verò hos ſuperaverint, incolumes evadunt.

7. Epilepſia quib. ante pubertatẽ cõtingit, mutationẽ recipit: quibus poſt viceſimũ verò quintũ annũ, eos ferè comitatur ad mortem uſq;.

8. Qui pleuritide laborant, niſi intra dies quatuordecim ſupernè repurgentur, iis in empyema fit mali tranſlatio.

9. Tabes iis maximè ætatibus fit quæ à decimooćta-

δεκα ἐτέων μέχρι πέντε καὶ
τριήκοντα.

ι'. Ὁκόσοισι κυνάγχην
διαφεύγουσιν ἐς τὸν πνεύμονα
τρέπεται, ἐν ἑπτὰ ἡμέρῃσιν
ἀποθνήσκουσιν. ἢν δὲ ταύτας
διαφύγωσιν, ἔμπυοι γίνονται.

ια'. Τοῖσιν ὑπὸ τῶν φθισίων
ἐνοχλουμένοισιν, ἢν τὸ πτύ-
σμα ὅπερ ἂν ἀποβήσσωσι βα-
ρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπι-
χεόμενον, καὶ αἱ τρίχες ἀπὸ τῆς
κεφαλῆς ῥέωσι, θανάσιμον.

ιβ'. Ὁκόσοισιν ἂν φθισιῶ-
σιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς
ῥέωσιν, οὗτοι διαῤῥοίης ἐπι-
γενομένης ἀποθνήσκουσιν.

ιγ'. Ὁκόσοι αἷμα ἀφρῶδες ἀ-
ναπτύουσι, τουτέοισιν ἐκ τοῦ πνεύ-
μονος ἡ τοιαύτη ἀναγωγὴ γίνεται.

ιδ'. Ὑπὸ

vo ſunt anno ad triceſimumquintum.

10. *Quibus ex angina libertatis ad pulmonem muli fit converſio, ii intra dies ſeptem moriuntur: ſi verò hos effugerint, purulenti evadunt.*

11. *Qui tabe vexantur, ſi ſputum quod extuſſiunt, carbonibus injectum olet graviter, & capilli à capite defluunt, lethale.*

12. *Quibus per tabem capilli defluunt à capite, ii fluxione alvi ſuperveniente moriuntur.*

13. *Qui ſpumantem ſanguinem extuſſiunt, iis ex pulmone educitur.*

ιδ'. Ὑπὸ φθίσιος ἐχομένῳ διάῤῥοια ἐπιγινομένη, θανατῶδες.

ιε'. Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν ἀνακαθαρθῶσιν ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀφ' ἧς ἂν ἡ ῥῆξις γένηται, παύονται· ἢν δὲ μὴ, εἰς φθίσιν μεθίστανται.

ιϛ'. Τὸ θερμὸν βλάπτει ταῦτα τοῖσι πλεονάκις χρεομένοισι· σαρκῶν ἐκθήλυνσιν, νεύρων ἀκράτειαν, γνώμης νάρκωσιν, αἱμοῤῥαγίας, λειποθυμίας· ταῦτα οἷσι θάνατος.

ιζ'. Τὸ δὲ ψυχρὸν σπασμοὺς, τετάνους, μελασμοὺς, καὶ ῥίγεα πυρετώδεα.

ιη'. Τὸ

14. *Si tabe detento profluvium alvi ſuperveniat, lethale.*

15. *Qui ex pleuritide empyi fiunt, ſi à ruptione intra dies quadraginta ſurſum purgentur, liberantur: alioqui tranſeunt in tabem.*

16. *Calidum frequentiore uſu hæc invehit incommoda, carnis effœminationem, nervorum incontinentiam, animi torporem, profuſiones ſanguinis, animi deliquia; ad quæ quidem mors.*

17. *Frigidum verò convulſiones, tetanos, nigrores, & rigores febriles.*

ιη'. Τὸ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσι, νεύροις, ἐγκεφάλῳ, νωτιαίῳ μυελῷ. τὸ δὲ θερμὸν ὠφέλιμον.

ιθ'. Ὁκόσα κατέψυκται, ἐκθερμαίνειν δεῖ, πλὴν ὁκόσα αἱμοῤῥαγέει, ἢ μέλλει.

κ'. Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, δέρμα περισκληρύνει, ὀδύνην ἀνεκπύητον ποιέει, μελασμοὺς, ῥίγεα πυρετώδεα, σπασμοὺς, καὶ τετάνους.

κα'. Ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται. θέρμη δὲ ταῦτα ῥύεται.

κβ'. Τὸ

18. *Frigidum inimicum ossibus, dentibus, nervis, cerebro, dorsali medullæ: calidum verò amicum.*

19. *Quæ perfrigerata sunt, excalfacere oportet, præter ea quæ sanguinem profundunt, aut brevi sunt profusura.*

20. *Frigidum ulceribus mordax, cutem obdurat, dolorem insuppurabilem facit, nigrores, rigores febriles, convulsiones & tetanos.*

21. *Est tamen ubi in tetano sine ulcere, juveni benè carnoso, æstate media, frigidæ larga perfusio calorem revocat. calor verò hæc sanat.*

κβʹ. Τὸ θερμὸν ἐκπυητικὸν, οὐκ ἐπὶ παντὶ ἕλκει, μέγιστον σημεῖον ἐς ἀσφαλείην· δέρμα μαλάσσει, ἰσχναίνει, ἀνώδυνον, ῥιγέων, σπασμῶν, τετάνων παρηγορικόν. τὴν δὲ ἐν τῇ κεφαλῇ καρηβαρίην λύει. πλεῖστον δὲ διαφέρει ὀστέων κατήγμασι, μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι. τουτέων δὲ μάλιστα τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι· καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει ἢ ἑλκοῦται. καὶ ἕρπησιν ἐσθιομένοισιν, ἕδρῃ, αἰδοίῳ, ὑστέρῃ, κύστει, τουτέοισι τὸ θερμὸν φίλον καὶ κρῖνον· τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον.

κγʹ. Ἐν

22. *Calidum ſuppurationem faciens, non in omni ulcere, maximum ſecuritatis præſtat indicium: cutem emollit, extenuat, dolorem lenit, rigores, convulſiones, tetanos mitigat: capitis gravitatem ſolvit: oſſibus fractis plurimum prodeſt, maximè ſi nudata ſint, multoque magis iis qui in capite ulcera habent: iis etiam quæ moriuntur aut ulcerantur à frigore. herpetibus denique exedentibus, ſedi, pudendo, utero, veſicæ: his omnibus calidum amicum & decretorium, frigidum inimicum & interimens.*

κγ'. Ἐν τουτέοισι δὲ δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμοῤῥαγέει ἢ μέλλει, μὴ ἐπ' αὐτὰ, ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιῤῥέει. καὶ ὁκόσαι φλεγμοναὶ ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέποντα νεαρῷ αἵματι, ἐπὶ ταῦτα· ἐπεὶ τάγε παλαιὰ μελαίνει. καὶ ἐρυσίπελας τὸ μὴ ἑλκούμενον ὠφελεῖ· ἐπεὶ τόγε ἑλκούμενον βλάπτει.

κδ'. Τὰ ψυχρὰ, οἷον χιὼν, κρύσταλλος, τῷ στήθει πολέμια, βηχέων κινητικὰ, αἱμοῤῥοϊκὰ, καταῤῥοϊκά.

κε'. Τὰ δὲ ἐν ἄρθροισιν οἰδή-

23. *Frigido verò in his utendum, unde fluit aut fluxurus ſanguis eſt, non quidem eodem loci, ſed circa ea loca unde influit: & ſi quæ partium inflammationes, aut ardores ad rubrum ſanguineumve colorem tendunt; ex recenti ſanguine, iiſdem ipſis adhibito: nam inveterata nigrefacit. Eryſipelas etiam non ulceratum juvat: ſiquidem exulceratum lædit.*

24. *Frigida, veluti nix & glacies, pectori inimica, tuſſes movent, ſanguinis fluxiones, & deſtillationes efficiunt.*

25. *Articulorum tumores*

ματα καὶ ἀλγήματα ἄτερ ἕλκεος, καὶ ποδαγρικὰ, καὶ σπάσματα, τουτέων τὰ πλεῖστα τὸ ψυχρὸν πολλὸν καταχεόμενον ῥηΐζει τε καὶ ἰσχναίνει, καὶ ὀδύνην λύει. νάρκη γὰρ μετρίη ὀδύνης λυτική.

κϛʹ. Ὕδωρ τὸ ταχέως θερμαινόμενον καὶ ταχέως ψυχόμενον, κουφότατον.

κζʹ. Ὁκόσοισι δὲ πιεῖν ὀρέξιες νύκτωρ, τοῖσι πάνυ διψῶσιν, ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν.

κηʹ. Γυναικείων ἀγωγὸν ἡ ἐν ἀρώμασι πυρίη. πολλαχοῦ δὲ καὶ εἰς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρείας ἐνεποίει.

κθʹ. Τὰς κυούσας φαρμακεύειν

res & dolores absque ulcere, atque etiam podagricos, & convulsiones magna ex parte frigida largè affusa levat & extenuat, solvitque dolorem. Nam modicus torpor doloris solvendi vim habet.

26. *Aqua quæ citò calefit & citò refrigeratur, levissima.*

27. *Quibus noctu bibendi est aviditas, iis admodum sitientibus obdormiscere, bono est.*

28. *Suffitus aromatum muliebria educit. Sæpius verò & ad alia utilis esset, nisi capitis induceret gravitatem.*

29. *Prægnantes purgabis,*

κεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν· ἧσσον δὲ ταύτας. τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι χρή.

λ'. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νοσημάτων ληφθῆναι, θανάσιμον.

λα'. Γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα ἐκτιτρώσκει, καὶ μᾶλλον εἰ μεῖζον εἴη τὸ ἔμβρυον.

λβ'. Γυναικὶ αἷμα ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέντων, λύσις γίνεται.

λγ'. Γυναικὶ τῶν καταμηνίων ἐκλειπόντων, αἷμα ἐκ τῶν ῥινῶν ῥυῆναι, ἀγαθόν.

λδ'. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ἡ κοιλίη πολλὰ

bis, si materia *turgeat, quadrimestres, & usque ad septimum mensem, sed has minus. Minore verò aut grandiore fœtu, abstinebis.*

30. *Mulierem gravidam morbo quopiam acuto corripi, lethale.*

31. *Mulier in utero ferens, sectâ venâ abortit, eóque magis si sit fœtus grandior.*

32. *Mulieri sanguinem evomenti, menstruis erumpentibus, solutio fit.*

33. *Mulieri menstruis deficientibus, sanguis è naribus profluens, bono est.*

34. *Mulieri uterum gerenti si alvus multum*

ῥυῇ, κίνδυνος ἐκτρῶσαι.

λε'. Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ, ἢ δυστοκούσῃ, πταρμὸς ἐπιγενόμενος, ἀγαθόν.

λϛ'. Γυναικὶ τὰ καταμήνια ἄχροα, καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθάρσιος δεῖσθαι σημαίνει.

λζ'. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν οἱ μασθοὶ ἐξαίφνης ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

λη'. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ὁ ἕτερος μασθὸς ἰσχνὸς γένηται δίδυμα ἐχούσῃ, θάτερον ἐκτιτρώσκει. καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν· ἢν δὲ ὁ ἀριστερὸς, τὸ θῆλυ.

λθ'. Ἢν

fluat, periculum eſt ne abortiat.

35. *Mulieri hyſtericæ, aut difficulter parienti, ſternutamentum ſuperveniens, bonum.*

36. *Mulieri menſes decolores, nec eodem ſemper modo & tempore prodeuntes, purgationem indicant eſſe neceſſariam.*

37. *Si mulieri uterum ferenti mammæ ſubitò extenuentur, abortit.*

38. *Mulieri geminos ferenti ſi altera mamma extenuetur, alterum abortu edit: & ſi quidem dextra mamma gracilis fiat, marē; ſi verò ſiniſtra, fœminam.*

λθʹ. Ἢν γυνὴ μὴ κύουσα, μηδὲ τετοκυῖα γάλα ἔχῃ, ταύτῃ τὰ καταμήνια ἐκλέλοιπε.

μʹ. Γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα συστρέφεται, μανίην σημαίνει.

μαʹ. Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ, μελίκρητον διδόναι πιεῖν. κὴν μὲν στρόφον ἔχῃ περὶ τὴν γαστέρα, κύει· ἢν δὲ μή, οὐ κύει.

μβʹ. Γυνὴ ἔγκυος, εἰ μὲν ἄρρεν κύει, εὔχρους ἐστίν. ἢν δὲ θῆλυ, δύσχρους.

μγʹ. Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες.

μδʹ. Ὁκόσαι παρὰ φύσιν

λεπταὶ

39. *Si mulier quæ nec prægnans, nec puerpera eſt, lac habet, ei menſtrua defecerunt.*

40. *Quibus mulieribus in mammas ſanguis colligitur, furorem ſignificat.*

41. *Si velis noſſe an mulier conceperit, dormituræ aquam mulſam potui dato: & ſi ventris tormina patiatur, concepit: ſin minus, non concepit.*

42. *Mulier gravida ſi marem gerit, benè colorata eſt: ſi fœminam, decolor.*

43. *Si mulieri prægnanti fiat in utero eryſipelas, lethale eſt.*

44. *Quæ præter naturam*

λεπῖαὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσι πρὶν ἢ παχυνθῆναι.

μέ. Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσι, καὶ οὐ δύνανται κρατεῖν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ἀλλ᾽ ἀποῤῥήγνυνται.

μϛ΄. Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν τῇ γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον τὸ στόμα τῶν ὑστερέων ἀποπιέζει, καὶ πρὶν ἢ λεπτυνθῆναι, οὐ κύουσιν.

μζ΄. Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη διαπυήσῃ, ἀνάγκη ἔμμοτον γενέσθαι.

μή. Ἔμ-

tenues uterum gerunt, abortiunt donec habitiores evaserint.

45. *Quæ verò mediocriter corpulēta abortum faciunt secundo mense aut tertio sine occasione manifesta, iis acetabula uteri mucoris sunt plena, nec præ pondere fœtum continere possunt, sed abrumpuntur.*

46. *Quæ præter naturam crassæ non concipiunt, iis uteri os ab omento comprimitur, & priusquam extenuentur, non concipiunt.*

47. *Si qua parte uterus coxæ adjacet suppuraverit, linamentis concerptis curetur necesse est.*

μη΄. Ἔμβρυα, τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον.

μθ΄. Ἐς ὑστερέων ἐκπτώσιας πταρμικὸν ἐπιθεὶς, ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

ν΄. Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε.

να΄. Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τουτέων τὸ στόμα τῶν ὑστερέων συμμέμυκεν.

νβ΄. Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ γάλα πολὺ ἐκ τῶν μαζῶν ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει· ἢν δὲ στερεοὶ οἱ μαζοὶ ἔωσιν, ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει.

48. *Fœtus mares dextrâ uteri parte, fœminæ ſiniſtrâ magis* geſtantur.

49. *Ad ſecundas deturbandas, ſternutatorio immiſſo, nares & os comprimito.*

50. *Mulieri ſi velis menſtrua ſiſtere, cucurbitulam quàm maximam ad mammas appone.*

51. *Quæ uterum ferunt, iis uteri os connivet.*

52. *Mulieri gravidæ ſi lac è mammis copioſè fluat, fœtum imbecillum ſignificat: ſi verò firmæ ſolidæque mammæ fuerint, valentiorem fœtum ſignificat.*

νγʹ. Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ταύτῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίνονται. ἢν δὲ πάλιν σκληροὶ γένωνται, ὀδύνη ἔσται ἢ ἐν τοῖσι τιτθοῖσιν, ἢ ἐν τοῖσιν ἰσχίοισιν, ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ διαφθείρουσιν.

νδʹ. Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταύτῃσιν ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμύειν.

νεʹ. Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται, καὶ ἰσχυρῶς ἰσχναίνονται ἄνευ προφάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως, ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσιν.

νϛʹ. Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγένηται, κακόν.

53. *Quæ fœtum ſunt perditura, iis mammæ extenuantur: contrà verò duræ ſi fiant, dolor aut mammas, aut coxas, aut oculos, aut genua fatigabit, nec abortiunt.*

54. *Quibus os uteri durum eſt, iis os uteri arctetur eſt neceſſe.*

55. *Quæ geſtantes uterum febribus corripiuntur, & vehementer ſine evidente cauſa extenuantur, eæ difficulter & cum periculo pariunt, aut abortientes periclitantur.*

56. *Si muliebri profluvio convulſio & animi defectus ſuperveniat, malo eſt.*

57. Men-

νζ'. Καταμηνίων γινομένων πλειόνων, νοῦσοι ξυμβαίνουσι· καὶ μὴ γινομένων, ἀπὸ τῆς ὑστέρης ξυμβαίνουσι νοῦσοι.

νη'. Ἐπὶ ἀρχῷ φλεγμαίνοντι, καὶ ἐπὶ ὑστέρῃ φλεγμαινούσῃ, καὶ ἐπὶ νεφροῖσιν ἐμπυοῦσι στραγγουρίη ἐπιγίνεται. ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι λὺγξ ἐπιγίνεται.

νθ'. Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοισι θυμία κάτω· κἢν μὲν πορεύεσθαί σοι δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, γίνωσκε ὅτι αὐτὴ οὐ δι' ἑωυτὴν ἄγονός ἐστιν.

ξ'. Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσιες πο-

ρεύων-

57. *Menſtruis abundantibus morbi eveniunt: & ſubſiſtentibus accidunt ab utero morbi.*

58. *Ad recti inteſtini & uteri inflammationem, purulentóſque renes ſuccedit urinæ ſtillicidiũ: jecori verò inflammatione laboranti ſupervenit ſingultus.*

59. *Si mulier non concipiat, & ſcire placet an ſit conceptura, veſtibus undique obvolutam ſubter ſuffito: ac ſi odor corpus pervadere videatur ad nares & os uſque, non ſua culpa ſterilem eſſe ſcito.*

60. *Si prægnanti purgationes menſtruæ curſum ſuũ te-*

ρεύωνται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

ξα'. Ἢν γυναικὶ καθάρσιες μὴ πορεύωνται, μήτε φρίκης, μήτε πυρετοῦ ἐπιγενομένου, ἆσαι δὲ αὐτῇ προσπίπτωσιν, λογίζου ταύτην ἐν γαστρὶ ἔχειν.

ξβ'. Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν, οὐ κυΐσκουσι. καὶ ὁκόσαι καθύγρους ἔχουσι τὰς μήτρας, οὐ κυΐσκουσιν· ἀποσβέννυται γὰρ αὐταῖς ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαέας· ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα. ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι σύμμετρον, αἱ τοιαῦται ἐπίτεκνοι γίνονται.

ξγ'. Πα-

teneant, bene valere fœtum est impoſſibile.

61. *Si mulieri purgationes non prodeant, neque horrore, neque febre ſuperveniente, cibique faſtidia ei accidant, prægnantem eſſe putato.*

62. *Quæ frigidos & denſos uteros habent, non concipiunt. Et quæ præhumidos uteros habent, nõ concipiunt: extinguitur enim in ipſis genitura. Et quæ plus æquo ſiccas & adurentes: nam alimenti defectu ſemen corrumpitur. Quæ verò ex utriſque moderatam nactæ ſunt temperiem, eæ fœcundæ evadunt.*

ξγ'. Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀῤῥένων. ἢ γὰρ δι' ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται, πρὸς τὸ μὴ παραπέμπειν τὸ σπέρμα· ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω· ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυελᾶται, ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον· ἢ διὰ τὴν θερμασίην τὸ αὐτὸ τοῦτο γίνεται.

ξδ'. Γάλα διδόναι κεφαλαλγέουσι, κακόν. κακὸν δὲ καὶ πυρεταίνουσι, καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορίζοντα, καὶ τοῖσι διψώδεσι. κακὸν δὲ καὶ οἷσι χολώδεες αἱ διαχωρήσιες, καὶ ἐν τοῖσι ὀξέσι πυρετοῖσιν ἐοῦσι, καὶ οἷσιν αἵματος πολλοῦ διαχώρησις γέγονεν. ἁρμόζει

δὲ

63. Par eſt de maribus ratio. Aut enim propter corporis raritatem ſpiritus foras diſſipatur, ita ut genituram ejaculari nequeat: aut propter denſitatẽ humor foras non proſilit: aut propter frigiditatem non incenditur, ut eò loci coacervari poſſit: aut propter caliditatẽ hoc idem ipſum uſu venit.

64. Lac præbere capite dolentibus, malum: malum verò & febricitantibus, & quibus hypochondria elata aut murmurantia, & ſiticuloſis. malum item quibus bilioſæ dejectiones, febres acutæ, & copioſa ſanguinis evacuatio facta eſt. Cõvenit

δὲ τοῖσι φθινώδεσι μὴ λίην
πολλῷ πυρέσσουσι διδόναι γά-
λα, καὶ ἐν πυρετοῖσι μα-
κροῖσι καὶ βληχροῖσι, μηδε-
νὸς τῶν προειρημένων σημείων
παρεόντος, παρὰ λόγον δὲ ἐκ-
τετηκόσι.

ξε'. Ὁκόσοισιν οἰδήματα
ἐφ' ἕλκεσι φαίνεται, οὐ μάλα
σπῶνται, οὐδὲ μαίνονται· του-
τέων δὲ ἀφανισθέντων ἐξαί-
φνης, τοῖσι μὲν ὄπισθεν, σπα-
σμοὶ, τέτανοι· τοῖσι δὲ ἔμ-
προσθεν, μανίαι, ἢ ὀδύναι
πλευροῦ ὀξεῖαι, ἢ ἐμπύησις,
ἢ δυσεντερίη. ἢν ἐρυθρὰ ἦ τὰ
οἰδήματα.

ξϛ'. Ἢν τραυμάτων ἰσχυρῶν
ἐόν-

verò tabidis non admodum valdè febricitantibus lac præbere, & in febribus longis & languidis, dum nullum ex suprà dictis signis adsit, & præter rationem extenuatis.

65. *Quibus sunt cum ulceribus tumores conspicui, ii non admodum cõvelluntur, aut insaniunt: his verò repentè evanescentibus, siquidem posticâ parte factum sit, convulsiones & tetani accidunt: si verò à fronte, insaniæ, aut lateris dolores acuti, aut empyema, aut dysenteria, si rubicundi fuerint tumores.*

66. *Si in magnis vulneri-*

ἐόντων, καὶ πονηρῶν, οἰδήματα μὴ φαίνηται, μέγα κακόν.

ξζ'. Τὰ χαῦνα, χρηστά. τὰ δὲ ἔνωμα, κακά.

ξη'. Τὰ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθὴ φλὲψ τμηθεῖσα, ὠφελέει.

ξθ'. Ῥίγεα ἄρχεται γυναιξὶ μὲν ἐξ ὀσφύος μᾶλλον, καὶ διὰ νώτου ἐς κεφαλήν. ἀνδράσι δὲ μᾶλλον ὄπισθεν ἢ ἔμπροσθεν τοῦ σώματος· οἷον ἀπό τε πηχέων καὶ μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιόν. δηλοῖ δὲ τοῦτο ἡ θρίξ.

ο'. Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι, ὑπὸ σπασμοῦ οὐ πάνυ τι ἁλίσκονται. ἢν

δὲ

bus & pravis tumores non appareant, ingens malum.

67. *Molles* tumores *boni, ut crudi mali.*

68. *Parte capitis posteriore dolenti in frontem rectà excurrens vena incisa, prodest.*

69. *Rigores incipiunt mulieribus ex lũbis magis, & per dorsum perveniunt in caput: viris verò parte corporis posteriore magis quàm anteriore, veluti ex femoribus & cubitis: sed & cutis iis rara est, id quod pilus indicat.*

70. *Qui quartana corripiuntur, nõ admodum convulsionibus tentantur: si*

δὲ ἁλίσκωνται πρότερον, εἶτα ἐπιγένηται τεταρταῖος, παύονται.

οα΄. Ὁκόσοισι δέρματα περιτείνεται καρφαλέα καὶ σκληρὰ, ἄνευ ἱδρώτων τελευτῶσιν. ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ, σὺν ἱδρῶτι τελευτῶσιν.

οβ΄. Οἱ ἰκτερώδεες οὐ πάνυ πνευματώδεές εἰσιν.

Τμῆμα ἕκτον.

Α.

ΕΝ τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγενομένη, μὴ γενομένη πρότερον, σημεῖον ἀγαθόν.

β΄. Οἷσι ῥῖνες ὑγρότεραι

verò prius tentati fuerint, superveniente quartana, liberantur.

71. *Quibus arida & dura cutis obtenditur, sine sudore moriuntur: quibus vero laxa & rara, cum sudore vitâ defunguntur.*

72. *Icterici non admodum flatulenti sunt.*

Sectio sexta.

I.

IN diuturnis lævitatibus intestinorum si ructus acidus superveniat, qui priùs non extiterit, bonum est signum.

2. *Quibus nares humi-*

ἔῃ φύσει, καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηρότερον. οἷσι δὲ τἀναντία, ὑγιεινότερον.

γ'. Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν αἱ ἀποσιτίαι κακὸν, καὶ σὺν πυρετῷ κάκιον.

δ'. Τὰ περιμάδηρα ἕλκεα, κακοήθεα.

ε'. Τῶν ὀδυνέων τῶν ἐν πλευρῇσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισιν, ἢν μέγα διαφέρωσι, καταμαθητέον.

ς'. Τὰ νεφριτικὰ καὶ ὁκόσα κατὰ τὴν κύστιν ἀλγήματα, ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτῃσι.

ζ'. Τὰ ἀλγήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα, τὰ μὲν μετέωρα,

diores naturâ, & genitura humidior, ii minus prosperâ valetudine fruuntur: quibus verò hisce contraria adsunt, salubrius degunt.

3. *In longis intestinorum difficultatibus cibi fastidium malum, & cum febre peius.*

4. *Circumglabra ulcera, maligna.*

5. *Dolores laterum, & pectoris, cæterarumque partium, an multùm differant, considerandum.*

6. *Renum & vesicæ vitia in senibus difficulter curantur.*

7. *Dolores ventris sub-*

τέωρα, κουφότερα. τὰ δὲ μὴ μετέωρα, ἰσχυρότερα.

η'. Τοῖσιν ὑδρωπικοῖσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι, οὐ ῥηϊδίως ὑγιάζεται.

θ'. Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα.

ι'. Κεφαλὴν πονέοντι καὶ περιωδυνέοντι, πύον, ἢ ὕδωρ, ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὸ στόμα, ἢ κατὰ τὰ ὦτα, λύει τὸ νόσημα.

ια'. Τοῖσι μελαγχολικοῖσι καὶ τοῖσι νεφριτικοῖσιν αἱμοῤῥοΐδες ἐπιγινόμεναι, ἀγαθόν.

ιβ'. Αἱμοῤῥοΐδας ἰηθέντι χρονίας, ἢν μὴ μία φυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι, ἢ φθίσιν.

ιγ'. Ὑπὸ

limes, leniores: non ſublimes, fortiores.

8. *Aquâ inter cutẽ laborantib. exorta in corpore ulcera, non facilè ſanantur.*

9. *Latæ puſtulæ non admodum pruriginoſæ.*

10. *Caput dolenti & vehementer laboranti, pus, vel aqua, vel ſanguis per nares, aut os, aut aures effluens, morbum ſolvit.*

11. *Melancholicis & nephriticis hæmorrhoïdes ſupervenientes, bono ſunt.*

12. *A diuturnis hæmorrhoïdibus curato, niſi una quæpiam ſervetur, periculum aquæ inter cutem, vel tabis impendet.*

13. *Sin-*

ιγ΄. Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγινόμενοι, λύουσι τὸν λυγμόν.

ιδ΄. Ὑπὸ ὕδρωπος ἐχομένῳ, ἢν κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις.

ιε. Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς, ἀπὸ ταυτομάτου ἔμετος ἐπιγινόμενος, λύει τὴν διάῤῥοιαν.

